UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1873

11. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2520

Visual Library

τὸν τρειϲκαιδέκατον ϲκοπὸν εἵλομεν ἐγγύθι νηῶν,
τόν ῥα διοπτῆρα ϲτρατοῦ ἔμμεναι ἡμετέροιο
Ἕκτωρ τε προέηκε καὶ ἄλλοι Τρῶεϲ ἀγαυοί.
ὣϲ εἰπὼν τάφροιο διήλαϲε μώνυχαϲ ἵππουϲ
καγχαλόων· ἅμα δ' ἄλλοι ἴϲαν χαίροντεϲ Ἀχαιοί.
οἳ δ' ὅτε Τυδείδεω κλιϲίην εὔτυκτον ἵκοντο,
ἵππουϲ μὲν κατέδηϲαν ἐυτμήτοιϲιν ἱμᾶϲι
φάτνῃ ἐφ' ἱππείῃ, ὅθι περ Διομήδεοϲ ἵπποι
ἕϲταϲαν ὠκύποδεϲ μελιηδέα πυρὸν ἔδοντεϲ.
νηὶ δ' ἐνὶ πρυμνῇ ἔναρα βροτόεντα Δόλωνοϲ
θῆκ' Ὀδυϲεύϲ, ὄφρ' ἱρὸν ἑτοιμαϲϲαίατ' Ἀθήνῃ.
αὐτοὶ δ' ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάϲϲῃ
ἐϲβάντεϲ κνήμαϲ τε ἰδὲ λόφον ἀμφί τε μηρούϲ.
αὐτὰρ ἐπεί ϲφιν κῦμα θαλάϲϲηϲ ἱδρῶ πολλὸν
νίψεν ἀπὸ χρωτὸϲ καὶ ἀνέψυχθεν φίλον ἦτορ,
ἔϲ ῥ' ἀϲαμίνθουϲ βάντεϲ ἐυξέϲταϲ λούϲαντο.
τὼ δὲ λοεϲϲαμένω καὶ ἀλειψαμένω λίπ' ἐλαίῳ
δείπνῳ ἐφιζανέτην, ἀπὸ δὲ κρητῆροϲ Ἀθήνῃ
πλείου ἀφυϲϲόμενοι λεῖβον μελιηδέα οἶνον.

---

# ΙΛΙΑΔΟϹ Λ.

Ἠὼϲ δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο
ὤρνυθ', ἵν' ἀθανάτοιϲι φόωϲ φέροι ἠδὲ βροτοῖϲι·

---

V. ʟ. 561 τριϲκαιδέκατον AGL. — 562 τὸν ῥὰ CL. — 563 τὲ H. τε omitt. G. τρῷεϲ L. — 565 ἦϲαν C. — 566 οἵδ' CGL. ὅτε δὴ H. τυδείδαο G. ἐύτυκτον C. ἐϋτϋκτον H. — 567 ἱμᾶϲι A Ambr. CEGH. — 569 ἑϲταϲαν AD. ἕϲταϲαν GL. — 570 ἐνι AD. ἐν S. — 571 θῆχ' ὀδυϲεὺϲ C. ὀδυϲϲεὺϲ DG. ἱερὸν G Lips. ἑτοιμαϲαίατ' CD. ἑτοιμαϲαίατο E. — 573 τε ἰδὲ ACDEH Apoll. Lex. 109, 4. τε ἠδὲ G. τ' ἠδὲ Et. Mg. 570, 3. Cram. Epim. 172, 7. τε ἰδ' αὖ λόφουϲ L. τε ἰδ' αὖ λόφον Harl. — 574 ϲφι G. — 575 ἀπο A. ἀνέψυχεν L. ἀνέψυχε Townl. ἀνέψυχθε GH. — 576 εὐξέϲταϲ D. ἐϋξέϲτουϲ S. — 577 τώδε G. — 579 ἀφυϲϲόμενοι A Harl. ceteri ἀφυϲϲάμενοι.

---

A. c. 561 τινὲϲ γράφουϲι τὸν τετρακαιδέκατον ϲκοπὸν εἵλομεν Aristonicus. — 579 οὕτωϲ ἀρίϲταρχοϲ· ἄλλοι δὲ ἀφυϲϲάμενοι Didymus, conf. ad Γ 295.

---

V. ʟ. 2 ὄρνυθ' Townl. φέρῃ EL ex em. Lips. Harl. βροτοῖϲι ACDGH.

Ζεὺϲ δ' Ἔριδα προΐαλλε θοὰϲ ἐπὶ νῆαϲ Ἀχαιῶν
ἀργαλέην, πολέμοιο τέραϲ μετὰ χερϲὶν ἔχουϲαν.
ϲτῆ δ' ἐπ' Ὀδυϲϲῆοϲ μεγακήτεϊ νηὶ μελαίνῃ,
ἥ ῥ' ἐν μεϲϲάτῳ ἔϲκε γεγωνέμεν ἀμφοτέρωϲε,
ἠμὲν ἐπ' Αἴαντοϲ κλιϲίαϲ Τελαμωνιάδαο
ἠδ' ἐπ' Ἀχιλλῆοϲ, τοί ῥ' ἔϲχατα νῆαϲ ἐίϲαϲ
εἴρυϲαν ἠνορέῃ πίϲυνοι καὶ κάρτεϊ χειρῶν.
ἔνθα ϲτᾶϲ' ἤυϲε θεὰ μέγα τε δεινόν τε
ὄρθι', Ἀχαιοῖϲιν δὲ μέγα ϲθένοϲ ἔμβαλ' ἑκάϲτῳ
καρδίῃ, ἄληκτον πολεμίζειν ἠδὲ μάχεϲθαι.
τοῖϲι δ' ἄφαρ πόλεμοϲ γλυκίων γένετ' ἠὲ νέεϲθαι
ἐν νηυϲὶ γλαφυρῇϲι φίλην ἐϲ πατρίδα γαῖαν.
Ἀτρείδηϲ δ' ἐβόηϲεν ἰδὲ ζώννυϲθαι ἄνωγεν
Ἀργείουϲ· ἐν δ' αὐτὸϲ ἐδύϲετο νώροπα χαλκόν.
κνημῖδαϲ μὲν πρῶτα περὶ κνήμῃϲιν ἔθηκε
καλάϲ, ἀργυρέοιϲιν ἐπιϲφυρίοιϲ ἀραρυίαϲ·
δεύτερον αὖ θώρηκα περὶ ϲτήθεϲϲιν ἔδυνε,
τόν ποτέ οἱ Κινύρηϲ δῶκε ξεινήιον εἶναι.
πεύθετο γὰρ Κύπρον δὲ μέγα κλέοϲ, οὕνεκ' Ἀχαιοὶ
ἐϲ Τροίην νήεϲϲιν ἀναπλεύϲεϲθαι ἔμελλον·
τοὔνεκά οἱ τὸν δῶκε χαριζόμενοϲ βαϲιλῆι.
τοῦ δ' ἤ τοι δέκα οἶμοι ἔϲαν μέλανοϲ κυάνοιο,
δώδεκα δὲ χρυϲοῖο καὶ εἴκοϲι καϲϲιτέροιο·
κυάνεοι δὲ δράκοντεϲ ὀρωρέχατο προτὶ δειρὴν
τρεῖϲ ἑκάτερθ', ἴριϲϲιν ἐοικότεϲ, ἅϲ τε Κρονίων

V. l. 3 ἐπι A. — 4 μετα A. — 8 ἀχῑλῆοϲ C. τοί ῥ': οἳ E. ἔϲχατοι L. — 10 μέγά τε C. — 11 ἀχαιοῖϲι CDE Schol. Aristoph. Acharn. 16. — 12 κραδίῃ CDH. ἄληκτον CD Lips. — 15 ἠδὲ G. ἐβόηϲ' ἠδὲ Barocc. ζώνυϲθαι CDE 827, 7. — 16 ἐδύϲατο ACDE bis G. ἐδύϲϲατο HL. ἐδύϲετο Cant. ἐνδύϲατο νώροπα (ῶ) χαλκὸν S. — 17 κνημίδαϲ CGH. πρῶτον G. περι A. ἔθηκε ACGH. — 18 ἐπὶ ϲφυρίοιϲ DH. ἐπιϲφυρέοιϲιν L. — 19 θώρακα G. περι D. ἔδυνε ACDGH. — 20 Κινύραϲ Schol. Pind. Nem. VIII, 28. — 21 κύπρον δὲ AD. — 22 ἀναπλεύϲαϲθαι C Cant. Schol. A 105. — 24 δή τοι HL Harl. δῆτα Et. Mg. 618, 1. οἶμοι C. — 26 προτι AD. ποτὶ CEHS. — 27 ἑκάτερθεν S. ἑκάτερθι[εν] L. ἴριϲιν DEH. ἴρεϲϲιν Hesych. II, 369. Apoll. Lex. 92, 29. Townl.

A. c. 13, 14 ἀθετοῦνται Aristonicus. asterisci: ὀρθῶϲ B 453, 454. καὶ παρὰ Ἀριϲτοφάνει δὲ ἠθετοῦντο, παρὰ Ζηνοδότῳ δὲ οὐδὲ ἦϲαν Didymus. — 26 ἐν τῇ Ἀριϲτοφάνουϲ ϲμερδαλέοι δὲ δράκοντεϲ ἐλειχμῶντο Didymus. — 27 Ζηνόδοτοϲ ἐρίδεϲϲιν Schol. A.

ἐν νέφεϊ ϲτήριξε, τέραϲ μερόπων ἀνθρώπων.
ἀμφὶ δ' ἄρ' ὤμοιϲιν βάλετο ξίφοϲ· ἐν δέ οἱ ἧλοι
χρύϲειοι πάμφαινον, ἀτὰρ περὶ κουλεὸν ἦεν
ἀργύρεον, χρυϲέοιϲιν ἀορτήρεϲϲιν ἀρηρόϲ.
ἂν δ' ἕλετ' ἀμφιβρότην πολυδαίδαλον ἀϲπίδα θοῦριν,
καλήν, ἣν πέρι μὲν κύκλοι δέκα χάλκεοι ἦϲαν,
ἐν δέ οἱ ὀμφαλοὶ ἦϲαν ἐείκοϲι καϲϲιτέροιο
λευκοί, ἐν δὲ μέϲοιϲιν ἔην μέλανοϲ κυάνοιο.
τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοϲυρῶπιϲ ἐϲτεφάνωτο
δεινὸν δερκομένη, περὶ δὲ Δεῖμόϲ τε Φόβοϲ τε.
τῆϲ δ' ἐξ ἀργύρεοϲ τελαμὼν ἦν· αὐτὰρ ἐπ' αὐτοῦ
κυάνεοϲ ἐλέλικτο δράκων, κεφαλαὶ δέ οἱ ἦϲαν
τρεῖϲ ἀμφιϲτρεφέεϲ, ἑνὸϲ αὐχένοϲ ἐκπεφυυῖαι.
κρατὶ δ' ἐπ' ἀμφίφαλον κυνέην θέτο τετραφάληρον
ἵππουριν· δεινὸν δὲ λόφοϲ καθύπερθεν ἔνευεν.
εἵλετο δ' ἄλκιμα δοῦρε δύω, κεκορυθμένα χαλκῷ,
ὀξέα· τῆλε δὲ χαλκὸϲ ἀπ' αὐτόφιν οὐρανὸν εἴϲω
λάμπ'· ἐπὶ δ' ἐγδούπηϲαν Ἀθηναίη τε καὶ Ἥρη,
τιμῶϲαι βαϲιλῆα πολυχρύϲοιο Μυκήνηϲ.
ἡνιόχῳ μὲν ἔπειτα ἑῷ ἐπέτελλεν ἕκαϲτοϲ
ἵππουϲ εὖ κατὰ κόϲμον ἐρυκέμεν αὖθ' ἐπὶ τάφρῳ,
αὐτοὶ δὲ πρυλέεϲ ϲὺν τεύχεϲι θωρηχθέντεϲ
ῥώοντ'· ἄϲβεϲτοϲ δὲ βοὴ γένετ' ἠῶθι πρό.

---

V. L. 28 νέφεϲι Vrat. b. Schol. Γ 121. ϲτήριξεν D. — 29 ἀμφι D. ἆρ DGL. ἀρ A. ὤμοιϲι D. ἧλοι L. ἦλοι A. — 30 χρύϲεοι D. αὐτὰρ H. — 32 ἀν DH. ἐν δ' CL. γρ. ἀν C man. rec. πολυδαίδαλον A. θούρην G. — 33 περὶ CDHL. — 35 ἓν A. ἔην: ἦν CL. — 36 ἐπι D. βλοϲϲυρῶπϊϲ C. ἐϲτεφάνωται Schol. Λ 40. — 38 ἐξ, non ἐξ' libri. ἐξαργύρεοϲ CD. αὐτοῦ ADG Mor. Barocc. αὐτῷ CEH ex corr. S Et. Mg. 328, 35. αὐτῶν L. — 40 ἀμφιϲτεφέεϲ CDHS. ἀμφιϲτεφέεϲ ἢ ἀμφιϲτρεφέεϲ E 829, 10. — 42 καθ' ὕπερθεν Vrat. b. — 43 δοῦρα E bis Vrat. A. — 44 ἀπ' αὐτόθι L. — 45 ἐπι D. δ' ἐγδούπηϲαν (ε supra α) A. δὲ γδούπηϲαν DG. δ' ἐκδούπηϲαν CL Vrat. A. δ' ἐνδούπηϲαν Harl. — 48 κατα D. αὖτ' ἐπι A. τάφρον L. — 49 ϲυν A. τεύχεϲϲι G.

---

A. c. 28 οὕτωϲ ἰακῶϲ τὸ ϲτήριξε Didymus, alii igitur νέφει ἐϲτήριξε. — 33, 34 scribebatur πέρι . . . . ἦϲαν et περὶ . . . ἦϲαν teste Herodiano. — 36 ἐπὶ Herodianus. — 38 αὐτοῦ: οὕτωϲ Ἀρίϲταρχοϲ. γράφεται δὲ καὶ ἐπ' αὐτῷ Didymus. — 40 οὕτωϲ αἱ Ἀριϲτάρχου ϲὺν τῷ ρ̄ ἀμφιϲτρέφεεϲ Didymus. — 45 ἐγδούπηϲαν Aristarchus.

φθὰν δὲ μέγ' ἱππήων ἐπὶ τάφρῳ κοςμηθέντες,
ἱππῆες δ' ὀλίγον μετεκίαθον. ἐν δὲ κυδοιμὸν
ὦρςε κακὸν Κρονίδης, κατὰ δ' ὑψόθεν ἧκεν ἐέρςας
αἵματι μυδαλέας ἐξ αἰθέρος, οὕνεκ' ἔμελλε
πολλὰς ἰφθίμους κεφαλὰς Ἄϊδι προϊάψειν.
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρῳςμῷ πεδίοιο,
Ἕκτορά τ' ἀμφὶ μέγαν καὶ ἀμύμονα Πουλυδάμαντα
Αἰνείαν θ', ὃς Τρωςὶ θεὸς ὣς τίετο δήμῳ,
τρεῖς τ' Ἀντηνορίδας, Πόλυβον καὶ Ἀγήνορα δῖον
ἠίθεόν τ' Ἀκάμαντ', ἐπιείκελον ἀθανάτοιςιν.
Ἕκτωρ δ' ἐν πρώτοιςι φέρ' ἀςπίδα πάντος' ἐίςην.
οἷος δ' ἐκ νεφέων ἀναφαίνεται οὔλιος ἀςτὴρ
παμφαίνων, τοτὲ δ' αὖτις ἔδυ νέφεα σκιόεντα,
ὣς Ἕκτωρ ὁτὲ μέν τε μετὰ πρώτοιςι φάνεςκεν,
ἄλλοτε δ' ἐν πυμάτοιςι κελεύων· πᾶς δ' ἄρα χαλκῷ
λάμφ' ὥς τε στεροπὴ πατρὸς Διὸς αἰγιόχοιο.
οἳ δ', ὥς τ' ἀμητῆρες ἐναντίοι ἀλλήλοιςιν
ὄγμον ἐλαύνωςιν ἀνδρὸς μάκαρος κατ' ἄρουραν
πυρῶν ἢ κριθέων· τὰ δὲ δράγματα ταρφέα πίπτει·
ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοιςι θορόντες

---

V. l. 51 μέγ' ADS Cant. Mor. Harl. Barocc. μεθ' CGHL Apoll. Lex. 162, 29. ἱππέων D. ἐπι A. — 52 μετεκείαθον DH. ἒν A. — 53 κατα C. ἑέρςας E. — 54 ἐξαιθέρος A. ἔμελλε ACDEGH. — 55 πολλὰς δ' Townl. προϊάμψειν S. — 56 τρῷες L. θρωιςμῶι A: ceteri θρωςμῷ. — 57 πουλυδάμαντα L. πολυδάμαντα D. — 58 τρωςὶ (ν suprascr.) C. ὡς AD. ἐτίετο H. — 59 πόλυμον S. — 60 ἀθανάτοιςι D. — 61 παντός' ἐΐςην ADGH Mor. Harl. παντόςε ἴςην CEL post ras. S. — 63 τότε Mor. Mosc. 3. ὅτε D. ποτὲ H. αὖθϊς C. σκοτόεντα Vrat. b. — 64 ὅτε E. τοτὲ CD 1. man. ποτὲ D 2. man. μέν τοι D. τε omitt. L. ὅτε μέν γε Vrat. A. φάνεςκε D. — 66 ὥς τ' ἀςτεροπή G. ὡς ἀςτεροπὴ Mor. conf. K 154. — 67 οἵδ' CGHL. ὡς Rhet. Gr. III, 201, 26. — 68 ἐλαύνωςιν: ἐλαύνουςιν CDEL. ἐλαύνοντο Schol. Theocr. X, 2. κατάρουραν A. — 69 κριθῶν ACDEGHL cum ceteris et Schol. T 222. — 70 ὡς A. τρῷες L.

---

A. c. 51 φθὰν Aristarchus. μέγ' Aristarchus et Herodianus: μεθ' Schol. V. — 55 οὕτως ἀρίςταρχος κεφαλὰς ἐνθάδε Didymus, conf. Ariston. et not. ad A 3. — 56 θρῳςμῷ, conf. H. U. 217. — 62 οὔλιος: alii αὔλιος teste Aristonico, conf. Et. Mg. 641, 6. — 64 ὁτὲ Herodianus, Il. Prosod. A 493. — 66 ὥς τε στεροπή, conf. ad K 154. — 69 κριθέων scribendum est vel contra libros, nam genetivus primae declinationis non nisi praecedente iota in ῶν desinit. Eadem de causa corrigendae sunt librorum scripturae σῶν E 818; πρώτων O 656; ἀργεννῶν Ϲ 529; ῥιζῶν Φ 243. excipitur τῶν K 253, μ 64.

δῄουν, οὐδ' ἕτεροι μνώοντ' ὀλοοῖο φόβοιο·
ἴϲαϲ δ' ὑϲμίνη κεφαλὰϲ ἔχεν· οἳ δὲ λύκοι ὣϲ
θῦνον. Ἔριϲ δ' ἄρ' ἔχαιρε πολύϲτονοϲ εἰϲορόωϲα·
οἴη γάρ ῥα θεῶν παρετύγχανε μαρναμένοιϲιν,
οἱ δ' ἄλλοι οὔ ϲφιν πάρεϲαν θεοί, ἀλλὰ ἕκηλοι
ϲφοῖϲιν ἐνὶ μεγάροιϲι καθείατοϲ, ἧχι ἑκάϲτῳ
δώματα καλὰ τέτυκτο κατὰ πτύχαϲ Οὐλύμποιο.
πάντεϲ δ' ᾐτιόωντο κελαινεφέα Κρονίωνα,
οὕνεκ' ἄρα Τρώεϲϲιν ἐβούλετο κῦδοϲ ὀρέξαι.
τῶν μὲν ἄρ' οὐκ ἀλέγιζε πατήρ· ὁ δὲ νόϲφι λιαϲθεὶϲ
τῶν ἄλλων ἀπάνευθε καθέζετο κύδεϊ γαίων,
εἰϲορόων Τρώων τε πόλιν καὶ νῆαϲ Ἀχαιῶν
χαλκοῦ τε ϲτεροπήν, ὀλλύντάϲ τ' ὀλλυμένουϲ τε.
    ὄφρα μὲν ἠὼϲ ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαόϲ·
ἦμοϲ δὲ δρυτόμοϲ περ ἀνὴρ ὡπλίϲϲατο δεῖπνον
οὔρεοϲ ἐν βήϲϲῃϲιν, ἐπεί τ' ἐκορέϲϲατο χεῖραϲ
τάμνων δένδρεα μακρά, ἄδοϲ τέ μιν ἵκετο θυμόν,
ϲίτου τε γλυκεροῖο περὶ φρέναϲ ἵμεροϲ αἱρεῖ,
τῆμοϲ ϲφῇ ἀρετῇ Δαναοὶ ῥήξαντο φάλαγγαϲ

V. L. 71 δηΐουν CDL. δήϊον οἱ δ' ἕτεροι Schol. Τ 222. οὐδέτεροι L. — 72 ὑϲμίνῃ ACEGH Eust. 847, 53; 1181, 42. ἔχον CGHL. εἶχ$\overset{ον}{εν}$ S. εἶχον Eust. 832, 4; 847, 54. οἳ δὲ C. ὡϲ A. — 73 ἆρ E. ἆρ$^{α}$ A. ἄρα χαῖρε CL. εἰϲορόωντα Mosc. 3. — 74 γὰρ ῥὰ L. παρετύγχανεν D. — 75 ϲφι D. — 76 ϲφοῖϲιν ACDH Harl. Lips. Mosc. 3. ἐν ϲφοῖϲιν μεγάροιϲ ἐκάθηντο E. οἷϲιν GLS. γρ. οἷϲιν A. ἐνι AD. καθήατο S. ἧιχι AD. ἔνθα E. — 77 κατα A. κατὰ ϲτίχαϲ D. ὀλύμποιο G. — 79 τρῴεϲϲιν L. — 80 ἆρ CGL. ἀρ A. ἄρ D. ὃ δὲ C. — 81 ἀπάνευθ' ἐκαθέζετο H. — 82 τρῴων L. τε omitt. G. — 83 τ' ἀϲτεροπὴν L. ὀλύνταϲ τ' ὀλυμένουϲ τε D. ὀλλύντ$\overset{ων}{αϲ}$ τ' ὀλλυμέν$\overset{ων}{ουϲ}$ τε S. — 85 πίπτε ACDEGHL. δε D. — 86 ὡπλίϲατο DEG Schol. Θ 53. δεῖπνον ACDEHLS Cant. Harl. Townl. Mosc. 3. δόρπον G. — 87 ἐμβήϲηιϲιν D. ἐμ βήϲϲῃϲιν Hesych. III, 242. βήϲῃϲιν G 1. man. L Townl. ἐπεί γ' E. τε κορέϲϲατο L. — 88 ἅδοϲ A: ceteri ἄδοϲ. τέ μιν εἵλετο Townl. θυμῷ L. — 89 ϲίτου τὲ ACH. περι A. — 90 φάλαγγα Plutarchus de Aud. poët. 6.

A. c. 72 οὕτωϲ ἀρίϲταρχοϲ ἡ ὑϲμίνη τὰϲ κεφαλὰϲ ἴϲαϲ εἶχεν Didymus. ἄλλοι δὲ ἴϲαϲ δ' ὑϲμίνῃ κεφαλὰϲ ἔχον Schol. A. — 75 πάρεϲαν Herodianus. — 76 ἀρίϲταρχοϲ χωρὶϲ τοῦ ῑ τὸ ἦχι Didymus, conf. ad A 607. — 78—83 ἀθετοῦνται Aristonicus. τούτουϲ καὶ Ἀριϲτοφάνηϲ ἠθέτει, παρὰ δὲ Ζηνοδότῳ οὐδὲ ἐγράφοντο Didymus. — 86 δεῖπνον: Zenodotus δόρπον. — 88 ἅδοϲ Herodianus cum Aristarcho, conf. H. T. 179. μάκρ' ἄδδοϲ Christ. griech. Lautlehre pg. 265.

κεκλόμενοι ἑτάροιϲι κατὰ ϲτίχαϲ. ἐν δ' Ἀγαμέμνων
πρῶτοϲ ὄρουϲ', ἕλε δ' ἄνδρα Βιήνορα, ποιμένα λαῶν,
αὐτόν, ἔπειτα δ' ἑταῖρον Ὀιλῆα πλήξιππον.
ἦ τοι ὅ γ' ἐξ ἵππων κατεπάλμενοϲ ἀντίοϲ ἔϲτη·
τὸν δ' ἰθὺϲ μεμαῶτα μετώπιον ὀξέι δουρὶ
νύξ', οὐδὲ ϲτεφάνη δόρυ οἱ ϲχέθε χαλκοβάρεια,
ἀλλὰ δι' αὐτῆϲ ἦλθε καὶ ὀϲτέου, ἐγκέφαλοϲ δὲ
ἔνδον ἅπαϲ πεπάλακτο· δάμαϲϲε δέ μιν μεμαῶτα.
καὶ τοὺϲ μὲν λίπεν αὖθι ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ϲτήθεϲι παμφαίνονταϲ, ἐπεὶ περίδυϲε χιτῶναϲ·
αὐτὰρ ὁ βῆ ῥ' Ἶϲόν τε καὶ Ἄντιφον ἐξεναρίξων,
υἷε δύω Πριάμοιο, νόθον καὶ γνήϲιον, ἄμφω
εἰν ἑνὶ δίφρῳ ἐόντε· ὁ μὲν νόθοϲ ἡνιόχευεν,
Ἄντιφοϲ αὖ παρέβαϲκε περικλυτόϲ· ὥ ποτ' Ἀχιλλεὺϲ
Ἴδηϲ ἐν κνημοῖϲι δίδη μόϲχοιϲι λύγοιϲι,
ποιμαίνοντ' ἐπ' ὄεϲϲι λαβών, καὶ ἔλυϲεν ἀποίνων.
δὴ τότε γ' Ἀτρείδηϲ εὐρὺ κρείων Ἀγαμέμνων
τὸν μὲν ὑπὲρ μαζοῖο κατὰ ϲτῆθοϲ βάλε δουρί,
Ἄντιφον αὖ παρὰ οὖϲ ἔλαϲε ξίφει, ἐκ δ' ἔβαλ' ἵππων.
ϲπερχόμενοϲ δ' ἀπὸ τοῖιν ἐϲύλα τεύχεα καλὰ

---

ἐν ἐκ
V. ι. 91 κατα D. ἐν CG Harl. Mor. ἐκ S. ἐκ D. ἂν L. ἀν A. ἂν H.
νύ
γρ. ἐκ δ' ἀγαμέμνων A. — 94 ἀντίον G. — 96 ῥῆξ' H. δόρυ ϲχέθε C Apoll. Lex. 97, 13. δόρυ ἔϲχεθε Townl. χαλκοβάρεια A. — 98 δάμαϲε G 1. man. — 99 αὐτόθι L. — 100 περίδηϲε L. περίδυϲε A. — 101 ὃ CDG HL. ῥιϲόν τε G. ἐξεναρίζων L. — 102 δύο D 2. man. τε καὶ H. — 103 ἐόντε L Eust. 502, 28. Schol. Δ 499. Et. Gud. 410, 31. ἐόνταϲ libri praeter L. — 104 οὕϲ ποτ' E. ὅν ποτ' Apoll. Lex. 169, 34. ἀχιλεὺϲ C. — 105 κνήμαιϲι G. κνήμηϲι Harl. λύγοιϲι ACDEG Zonar. Lex. 481. Apoll. Lex. 169, 34. — 107 τῶν τότε S Cant. εὐρὺ κρείων A: ceteri εὐρυκρείων. — 108 κατα A. βάλεν χαλκήρεϊ δουρὶ D Vrat. b. A. — 109 παρ' L. ἔλαϲεν D. — 110 ἀπο D.

---

A. c. ἀρίϲταρχοϲ βιάνορα Didymus. — 94 ἀντίοϲ: ἀντίον Zenodotus et Aristophanes. — 97 ἐγκέφαλοϲ δέ: ὅτι Ἀπολλώνιοϲ ποιεῖ ἐγκέφαλον δέ, καὶ τὸν ἑξῆϲ ἀθετεῖ Aristonicus, conf. H. T. 56. — 100 περίδυϲε χιτῶναϲ: ὅτι ἔν τιϲι γράφεται ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα Aristonicus. — 101 βῆ ῥ' Ἶϲον Aristarchus: βῆ Ἶϲον Zenodotus. Βήριϲον Posidippus, conf. Apoll. de Synt. 66, 5. ἀρίϲταρχοϲ δὲ, ῖϲόν τε καὶ ἄντιφον γράφει G in margine. — 103 ἀριϲτοφάνηϲ ἐόντε Didymus. — 104 ὥ: ὅν Zenodotus, conf. Ariston. ad 106 et 111. — 106 ὅτι τὸ πλῆρεϲ ποιμαίνοντε, Ζηνόδοτοϲ δὲ ἔοικε δέχεϲθαι ποιμαίνοντα, καὶ γὰρ „ὅν ποτε“ γράφει Aristonicus.

γιγνώϲκων· καὶ γάρ ϲφε πάροϲ παρὰ νηυϲὶ θοῇϲιν
εἶδεν, ὅτ᾽ ἐξ Ἴδηϲ ἄγαγεν πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ.
ὡϲ δὲ λέων ἐλάφοιο ταχείηϲ νήπια τέκνα
ῥηιδίωϲ ϲυνέαξε λαβὼν κρατεροῖϲιν ὀδοῦϲιν,
ἐλθὼν εἰϲ εὐνήν, ἁπαλόν τέ ϲφ᾽ ἦτορ ἀπηύρα·
ἡ δ᾽ εἴ πέρ τε τύχῃϲι μάλα ϲχεδόν, οὐ δύναταί ϲφι
χραιϲμεῖν· αὐτὴν γάρ μιν ὑπὸ τρόμοϲ αἰνὸϲ ἱκάνει·
καρπαλίμωϲ δ᾽ ἤιξε διὰ δρυμὰ πυκνὰ καὶ ὕλην
ϲπεύδουϲ᾽, ἱδρώουϲα, κραταιοῦ θηρὸϲ ὑφ᾽ ὁρμῆϲ·
ὣϲ ἄρα τοῖϲ οὔ τιϲ δύνατο χραιϲμῆϲαι ὄλεθρον
Τρώων, ἀλλὰ καὶ αὐτοὶ ὑπ᾽ Ἀργείοιϲι φέβοντο.
 αὐτὰρ ὃ Πείϲανδρόν τε καὶ Ἱππόλοχον μενεχάρμην,
υἱέαϲ Ἀντιμάχοιο δαΐφρονοϲ, ὅϲ ῥα μάλιϲτα
χρυϲὸν Ἀλεξάνδροιο δεδεγμένοϲ ἀγλαὰ δῶρα
οὐκ εἴαϲχ᾽ Ἑλένην δόμεναι ξανθῷ Μενελάῳ,
τοῦ περ δὴ δύο παῖδε λάβε κρείων Ἀγαμέμνων
εἰν ἑνὶ δίφρῳ ἐόνταϲ, ὁμοῦ δ᾽ ἔχον ὠκέαϲ ἵππουϲ·
ἐκ γάρ ϲφεαϲ χειρῶν φύγον ἡνία ϲιγαλόεντα,
τὼ δὲ κυκηθήτην· ὃ δ᾽ ἐναντίον ὦρτο λέων ὣϲ
Ἀτρείδηϲ· τὼ δ᾽ αὖτ᾽ ἐκ δίφρου γουναζέϲθην·
 ζώγρει Ἀτρέοϲ υἱέ, ϲὺ δ᾽ ἄξια δέξαι ἄποινα·
πολλὰ δ᾽ ἐν Ἀντιμάχοιο δόμοιϲ κειμήλια κεῖται,
χαλκόϲ τε χρυϲόϲ τε πολύκμητόϲ τε ϲίδηροϲ,
τῶν κέν τοι χαρίϲαιτο πατὴρ ἀπερείϲι᾽ ἄποινα,

---

V. l. 111 γιγνώϲκων L: γινώϲκων ACDGH. παρα A. θοῆιϲι D. — 112 ἀχῖλεύϲ C. — 115 ἀπηύρᾱ A. ἀπηῦρα D. — 116 ἢ δ᾽ D. ἦδ᾽ CG. εἴ πέρ DE. ϲφι AC. — 117 γὰρ μὲν G. ὑπο ACDH. ὑπότρομοϲ G. — 119 κρατεροῦ CL. — 120 ὡϲ AD 1. man. ὧϲ ρα S. — 121 τρῴων L. — 122 ὃ ACDGHL. — 123 ὃϲ ῥὰ L. — 125 εἴαϲχεν G. — 126 δὴ omitt. S. δύω GS. δύω (ο supra) H. παῖδ᾽ ἔλαβε Vrat. b. τοῦπερ δὴ λάβε παῖδε δύο Lips. — 127 ἐόνταϲ (ε supra) L. — 128 γὰρ ϲφέαϲ L. γὰρ ϲφῶν G. γὰρ ϲφῶν Mosc. 3. φύγον libri mei. — 129 τώδε G. ὃ δ᾽ D. ὅδ᾽ CGHL. ὡϲ A. — 131 ἀτρέωϲ G Barocc. Harl. — 132 ἐν Ἀντιμάχοιο δόμοιϲ: ἐν ἀφνειοῦ πατρὸϲ D Mosc. 3. γράφεται ἐν ἀφνειοῦ πατρόϲ Eust. 836, 26. — 133 πολύκμητόϲ A. — 134 κέν τι Lips.

---

A. c. 116 ὅτι δύναται ἑκατέρωϲ ἀναγινώϲκεϲθαι, καὶ κατὰ διαϲτολὴν τύχῃϲι, καὶ τετύχῃϲι ὡϲ λελάχωϲι Aristonicus. — 123 δαΐφρονοϲ: Zenodotus κακόφρονοϲ. — 125 εἴαϲχ᾽: εἴα? — 127 ἐόνταϲ: ἐόντε conf. 103. — 128 φύγον: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ φύγεν Didymus. — 129 οὕτωϲ ἐναντίον Didymus, conf. H. T. 193. — 132 Ζηνόδοτοϲ πολλὰ δ᾽ ἐν ἀντιμάχοιο πατρόϲ Didymus.

ει νῶι ζωοὺϲ πεπύθοιτ᾽ ἐπὶ νηυϲὶν Ἀχαιῶν.
ὣϲ τώ γε κλαίοντε προϲαυδήτην βαϲιλῆα
μειλιχίοιϲ ἐπέεϲϲιν· ἀμείλικτον δ᾽ ὄπ᾽ ἄκουϲαν·
εἰ μὲν δὴ Ἀντιμάχοιο δαΐφρονοϲ υἱέεϲ ἐϲτόν,
ὅϲ ποτ᾽ ἐνὶ Τρώων ἀγορῇ Μενέλαον ἄνωγεν,
ἀγγελίην ἐλθόντα ϲὺν ἀντιθέῳ Ὀδυϲῆι,
αὖθι κατακτεῖναι μὴ δ᾽ ἐξέμεν ἂψ ἐϲ Ἀχαιούϲ,
νῦν μὲν δὴ τοῦ πατρὸϲ ἀεικέα τίϲετε λώβην.
ἦ, καὶ Πείϲανδρον μὲν ἀφ᾽ ἵππων ὦϲε χαμᾶζε
δουρὶ βαλὼν πρὸϲ ϲτῆθοϲ· ὁ δ᾽ ὕπτιοϲ οὖδει ἐρείϲθη.
Ἱππόλοχοϲ δ᾽ ἀπόρουϲε, τὸν αὖ χαμαὶ ἐξενάριξε,
χεῖραϲ ἀπὸ ξίφεϊ τμήξαϲ ἀπό τ᾽ αὐχένα κόψαϲ,
ὅλμον δ᾽ ὣϲ ἔϲϲευε κυλίνδεϲθαι δι᾽ ὁμίλου.
τοὺϲ μὲν ἔαϲ᾽· ὁ δ᾽ ὅθι πλεῖϲται κλονέοντο φάλαγγεϲ,
τῇ ῥ᾽ ἐνόρουϲ᾽, ἅμα δ᾽ ἄλλοι ἐυκνήμιδεϲ Ἀχαιοί.
πεζοὶ μὲν πεζοὺϲ ὄλεκον φεύγονταϲ ἀνάγκῃ,
ἱππεῖϲ δ᾽ ἱππῆαϲ, ὑπὸ δέ ϲφιϲιν ὦρτο κονίη
ἐκ πεδίου, τὴν ὦρϲαν ἐρίγδουποι πόδεϲ ἵππων,
χαλκῷ δηιόωντεϲ. ἀτὰρ κρείων Ἀγαμέμνων
αἰὲν ἀποκτείνων ἕπετ᾽, Ἀργείοιϲι κελεύων.
ὣϲ δ᾽ ὅτε πῦρ ἀίδηλον ἐν ἀξύλῳ ἐμπέϲῃ ὕλῃ,
πάντῃ τ᾽ εἰλυφόων ἄνεμοϲ φέρει, οἱ δέ τε θάμνοι

V. ι. 136 προϲηυδάτην L deest augmentum hoc loco et X 90. προϲηύδα, προϲηύδων, μετηύδα nusquam augmento carent. — 139 ποτε ἐν E. ἐνι D. τρῴων L. — 140 ὀδυϲϲῆϊ DGH. — 141 μὴ δ᾽ ACDGHL Et. Mg. 347, 43. — 142 τίϲεται D. — 143 ὦϲε Eust. 835, 43. χαμᾶζε ADE: χαμάζε CGHL. — 144 ὁ δ᾽ D. ὅδ᾽ CGL. οὖδαϲ ἔρειϲεν L. — 145 ἐξενάριξε ACEG. — 146 ἀπο ACH. ἀπό τ᾽ (δ᾽ above) A. — 147 ὄλμον DH. ὡϲ AD. κιλίνδεϲθαι L. — 148 ὅδ᾽ CGH. — 149 τῆ ῥα G. εὐκνήμιδεϲ CDGHL. ἄλλοι ἀριϲτῆεϲ Παναχαιῶν Schol. Λ 167. — 151 ἱππεῖϲ δ᾽: ἱππῆεϲ δ᾽ D Schol. AD ad Λ 153. ὑπο DGLS. δέ ϲφιν GL. — 152 τήν ῥ᾽ H. ἐρίγδουποι A. — 153 δηϊόοντεϲ G. αὐτὰρ H. — 155 ὥϲ δ᾽ G. — 156 πάντῃ DE: ceteri πάντη. φέρει: φέροι Mosc. 3. γράφεται καὶ ἄνεμοϲ ϲτρέφει Eust. 838, 2.

A. c. 135 ζωούϲ: Aristophanes ζωώ. — 138 δαΐφρονοϲ: κακόφρονοϲ Zenodotus, ut 123, teste Schol. V. — 142 τοῦ: οὗ Zenodotus. τινάϲ φηϲιν Ἀρίϲταρχοϲ [γράφειν] ϲφοῦ πατρόϲ, αὐτὸϲ δὲ τοῦ πατρόϲ Schol. AV. — 144 ἀρίϲταρχοϲ οὖδαϲ ἔρειϲεν Didymus, non οὖδει ἐρείϲθη ut Schol. V. — 146 τμήξαϲ: ἀρίϲταρχοϲ πλήξαϲ Didymus, conf. H. T. 341. — 151 ἱππῆεϲ δ᾽ ἱππῆαϲ ὑπὸ ϲφίϲι δ᾽ Lehrsius Quaest. Ep. 242 ex coniectura. tum vero scribendum esset ὑπό ϲφιϲι, non ὑπὸ ϲφίϲι, quod idem est atque ὑφ᾽ ἑαυτοῖϲ.

προῤῥιζοι πίπτουςιν ἐπειγόμενοι πυρὸς ὁρμῇ·
ὣς ἄρ' ὑπ' Ἀτρεΐδῃ Ἀγαμέμνονι πῖπτε κάρηνα
Τρώων φευγόντων, πολλοὶ δ' ἐριαύχενες ἵπποι
κείν' ὄχεα κροτάλιζον ἀνὰ πτολέμοιο γεφύρας,
ἡνιόχους ποθέοντες ἀμύμονας. οἳ δ' ἐπὶ γαίῃ
κείατο γύπεσσιν πολὺ φίλτεροι ἢ ἀλόχοισιν.
Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεὺς ἔκ τε κονίης
ἔκ τ' ἀνδροκτασίης ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ·
Ἀτρεΐδης δ' ἕπετο σφεδανὸν Δαναοῖσι κελεύων.
οἳ δὲ παρ' Ἴλου σῆμα, παλαιοῦ Δαρδανίδαο,
μέσσον κὰπ πεδίον παρ' ἐρινεὸν ἐσσεύοντο
ἱέμενοι πόλιος· ὁ δὲ κεκληγὼς ἕπετ' αἰεὶ
Ἀτρεΐδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους.
ἀλλ' ὅτε δὴ Σκαιάς τε πύλας καὶ φηγὸν ἵκοντο,
ἔνθ' ἄρα δὴ ἵσταντο καὶ ἀλλήλους ἀνέμιμνον.
οἳ δ' ἔτι κὰμ μέσσον πεδίον φοβέοντο βόες ὥς,
ἅς τε λέων ἐφόβησε μολὼν ἐν νυκτὸς ἀμολγῷ
πάσας· τῇ δέ τ' ἰῇ ἀναφαίνεται αἰπὺς ὄλεθρος·
τῆς δ' ἐξ αὐχέν' ἔαξε λαβὼν κρατεροῖσιν ὀδοῦσι
πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει·
ὣς τοὺς Ἀτρεΐδης ἔφεπε κρείων Ἀγαμέμνων
αἰὲν ἀποκτείνων τὸν ὀπίστατον· οἳ δὲ φέβοντο.
πολλοὶ δὲ πρηνεῖς τε καὶ ὕπτιοι ἔκπεσον ἵππων

V. L. 157 πρόριζοι D. — 158 ὡς A. ἄρ DL. ἀρ A. ἄρα G. ὑπατρείδηι A. ἐπ' ἀτρείδῃ L. πίπτε CDEGHL. — 160 κειν" A. κεῖν' C. κεινὰ G. ἄνα AD. — 161 οἳ δ' D. οἵδ' CGHL. — 162 γύπεσσι DEGL. — 166 οἳ δὲ C. παρίλου D. παρ' ἴλλου Harl. Vrat. A. Mosc. 3. — 167 καππεδίον ACDGHL. κὰπ πεδίον Strabo XIII, 593. Schol. K 415. — 168 ἱέμενοι DG. πόλεως ACDEGHLS. ὃ δὲ C. ἀεὶ G. — 169 δὲ παλάσσετο ACDGH Harl. Vrat. b. δ' ἐπαλάσσετο EL. — 170 τε omitt. G. ἵκοντο: ἵκανον H. — 171 ἄρα δϊίσταντο G. καὶ omitt. L. — 172 οἵδ' CH. οἳ δέ τι L. καμμέσσον ADH. καμμέσον CGL. ὡς A. — 173 ἐκ νυκτὸς G. — 174 ἀναφαίνετ' G. — 175 δ' omitt. G. ὀδοῦσι ACDEG. — 177 ὡς A. — 178 οἳ C. δὲ φέβοντο CE 838, 42 HLS Townl. δὲ ἐφέβοντο G. δ' ἐφέβοντο ADE 838, 38. — 179 κάππεσον H.

A. c. 157 ἐπειγόμενοι Aristarchus. — 165 σφεδανὸν Aristarchus, non σφεδανῶν ut Φ 542, conf. H. T. 354. — 168 πόλιος correxit F. A. Wolfius, conf. Ε 791, Ζ 364, Θ 505, 545, Υ 52, Φ 540, 563, 567, 608, Χ 456, 464, Ω 329, ubi libri fere omnes πόλιος exhibent; sed Ε 744 in libris πόλεων legitur pro πόλιων. — 179, 180 ἀθετοῦνται ἀμφότεροι καὶ ἀστερίσκοι παράκεινται, ὅτι κατὰ τὴν Πατρόκλου ἀρίστειαν τάξιν ἔχουσι, νῦν δὲ οὔ Aristonicus. prior versus non legitur in Patroclia sed tantum posterior Π 699, qui in Cod. A asteriscum non habet adpictum, neque ex-

Ἀτρείδεω ὑπὸ χερσί· περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν.
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλεν ὑπὸ πτόλιν αἰπύ τε τεῖχος
ἵξεςθαι, τότε δή ῥα πατὴρ ἀνδρῶν τε θεῶν τε
Ἴδης ἐν κορυφῇςι καθέζετο πιδηέςςης,
οὐρανόθεν καταβάς· ἔχε δ' ἀςτεροπὴν μετὰ χερςίν.
Ἶριν δ' ὤτρυνε χρυςόπτερον ἀγγελέουςαν·
βάςκ' ἴθι Ἶρι ταχεῖα, τὸν Ἕκτορι μῦθον ἐνίςπες.
ὄφρ' ἂν μέν κεν ὁρᾷ Ἀγαμέμνονα, ποιμένα λαῶν,
θύνοντ' ἐν προμάχοιςιν, ἐναίροντα ςτίχας ἀνδρῶν,
τόφρ' ἀναχωρείτω, τὸν δ' ἄλλον λαὸν ἀνώχθω
μάρναςθαι δηίοιςι κατὰ κρατερὴν ὑςμίνην.
αὐτὰρ ἐπεί κ' ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῷ
εἰς ἵππους ἅλεται, τότε οἱ κράτος ἐγγυαλίξω
κτείνειν, εἰς ὅ κε νῆας ἐυςςέλμους ἀφίκηται
δύῃ τ' ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ.
ὣς ἔφατ', οὐδ' ἀπίθηςε ποδήνεμος ὠκέα Ἶρις,
βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν.
εὗρ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
ἑςταότ' ἔν θ' ἵπποιςι καὶ ἅρμαςι κολλητοῖςιν·
ἀγχοῦ δ' ἱςταμένη προςέφη πόδας ὠκέα Ἶρις·
Ἕκτορ, υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε,
Ζεύς με πατὴρ προέηκε τεΐν τάδε μυθήςαςθαι.
ὄφρ' ἂν μέν κεν ὁρᾷς Ἀγαμέμνονα, ποιμένα λαῶν,

---

V. l. 180 ἀτρείδαο G. ὑπο A. περὶ πρὸ AEH. περὶ προ CD. πέρι πρὸ L. θῦιεν A. — 181 ἔμελλον CGH Lips. Harl. un. Vrat. man. rec. — 182 δὴ ῥὰ L. — 183 ἴδης ἐκ G. πηδηέςςης G. — 184 δὲ ςτεροπὴν CDE 839, 10 GHL. δὲ ϲ͗τεροπὴν (α superscr.) A. — 185 ὤτρυνεν D. χρυςόπτερον A. — 186 ἐνίςπες A: ἔνιςπε CDGHLS Schol. Aristoph. Av. 877. — 187 ὄφρα μέν HL. — 189 ἀναχωρήτω Townl. ἀνάχθω L. — 190 δήοιςϊ H. κατα A. — 192 ἅλεται EGHL Et. Orionis 65, 1. ἅ||λεται C. ἅλλεται Et. Mg. 59, 13; 307, 11. ἅλεται A Zonar. Lex. 593. ἀλεται D. τότέ οἱ CL. — 193 εἰςόκε libri. ἐΰςέλμους CDG. — 194 ἐπι ADH. ἔλθοι C Mosc. 3. — 195 ὡς A. — 198 κολλητοῖςι D. — 201 τεὴν D. — 202 ὄφρα μέν κεν ὁράᾳς Schol. A 225.

---

stat ad eum scholium Aristonici. Ζηνόδοτος οὐκ ἔγραφεν, Ἀριςτοφάνης δὲ ἠθέτει τὸν „Ἀτρείδεω ὑπὸ χερςίν" Didymus. secundum Schol. V Aristophanes utrumque eiecit, Zenodotus neutrum, nisi forte scribendum est Ζηνόδοτος δὲ οὐ γράφει.

A. c. 184 ἀρίςταρχος μετὰ τοῦ ᾱ ἀςτεροπήν Didymus, conf. K 154, Λ 66. — 186 βάςκ' ἴθι: βάςκιθι Tyrannio, conf. ad B 8. — 192 ἅλεται Herodianus.

θύνοντ' ἐν προμάχοιcιν, ἐναίροντα cτίχαc ἀνδρῶν,
τόφρ' ὑπόεικε μάχηc, τὸν δ' ἄλλον λαὸν ἄνωχθι
μάρναcθαι δηίοιcι κατὰ κρατερὴν ὑcμίνην.
αὐτὰρ ἐπεί κ' ἢ δουρὶ τυπεὶc ἢ βλήμενοc ἰῷ
εἰc ἵππουc ἅλεται, τότε τοι κράτοc ἐγγυαλίξει
κτείνειν, εἰc ὅ κε νῆαc ἐυccέλμουc ἀφίκηαι
δύῃ τ' ἠέλιοc καὶ ἐπὶ κνέφαc ἱερὸν ἔλθῃ.
ἣ μὲν ἄρ' ὣc εἰποῦc' ἀπέβη πόδαc ὠκέα Ἶριc,
Ἕκτωρ δ' ἐξ ὀχέων cὺν τεύχεcιν ἆλτο χαμᾶζε,
πάλλων δ' ὀξέα δοῦρα κατὰ cτρατὸν ᾤχετο πάντῃ,
ὀτρύνων μαχέcαcθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
οἳ δ' ἐλελίχθηcαν καὶ ἐναντίοι ἔcταν Ἀχαιῶν,
Ἀργεῖοι δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγαc.
ἀρτύνθη δὲ μάχη, cτὰν δ' ἀντίοι· ἐν δ' Ἀγαμέμνων
πρῶτοc ὄρουc', ἔθελεν δὲ πολὺ προμάχεcθαι ἁπάντων.
ἔcπετε νῦν μοι μοῦcαι Ὀλύμπια δώματ' ἔχουcαι,
ὅc τιc δὴ πρῶτοc Ἀγαμέμνονοc ἀντίοc ἦλθεν
ἢ αὐτῶν Τρώων ἠὲ κλειτῶν ἐπικούρων.
Ἰφιδάμαc Ἀντηνορίδηc, ἠύc τε μέγαc τε,
ὃc τράφη ἐν Θρήκῃ ἐριβώλακι, μητέρι μήλων·
Κιccῆc τόν γ' ἔθρεψε δόμοιc ἔνι τυτθὸν ἐόντα,
μητροπάτωρ, ὃc τίκτε Θεανὼ καλλιπάρῃον·
αὐτὰρ ἐπεί ῥ' ἥβηc ἐρικυδέοc ἵκετο μέτρον,
αὐτοῦ μιν κατέρυκε, δίδου δ' ὅ γε θυγατέρα ἥν·

---

V. L. 203 ἀναίροντα Lips. — 204 ἀπόεικε Vrat. A. — 205 δήοιcι H. κατα A. — 207 ἅλεται CGHL. ἄλεται A. ἁλεται D. τότε cοι C 2. man. GL Mor. Harl. Vrat. A. τότε οἱ C 1. man. Lips. Townl. ἐγγϋαλῖξω H. — 208 εἰcόκε libri. ἐϋcέλμουc DG. — 209 ἐπϊ CD. ἔλθοι C Mosc. 3. — 210 ἣ μὲν C. ἂρ DGL. ἀρ A. ὡc AD. εἰποῦcα G. ἀπεβήcατο μακρὸν ὄλυμπον G Barocc. Mor. — 211 ἐξοχέων D. ἆλτο C. ἄλτο Townl. χαμᾶζε ADE: χαμάζε CGHL. — 212 δοῦρε Harl. κατα D. πάντῃ AE: ceteri πάντη. — 213 μάχεcθαι S. μαχέεcθαι Harl. — 214 οἳ δ' DL. οἵδ' CH. — 216 cτᾶν δ' C. ἐν δ': ἐκ δ' CDHL Townl. Vrat. b. — 217 ἔθελε DEG 1. man. — 218 ἔcπετε H. — 219 ἀντίοc CDGH: ἀντίον E 839, 61 LS Cant. Vrat. b. man. sec. ἀντίοc (ν supra) A. — 220 τρῴων L. ἢ καὶ κλειτῶν G. ἠὲ κλητῶν Townl. — 222 ἐν: ἐνὶ L, conf. B 661, Γ 201. — 223 κιccεὺc S. κιccῖc L. ἐνι D. ἐνῒ H. — 224 θεανῶ D. καλλιπάρῃον EHL: ceteri καλλιπάρηον. A καλλιπάρηον.

---

A. c. 215 ἑτέρωθεν: ἔν τιcιν καὶ αὐτοὶ Schol. A. — 219 ἀντίοc Zenodotus et Aristophanes: ἀντίον Aristarchus. — 222 μήλων: θηρῶν Zenodotus. — 223 Κιccῆc ὡc Ἑρμῆc Herodianus.

γῆμαϲ δ᾿ ἐκ θαλάμοιο μετὰ κλέοϲ ἵκετ᾿ Ἀχαιῶν
ϲὺν δυοκαίδεκα νηυϲὶ κορωνίϲιν, αἵ οἱ ἕποντο.
τὰϲ μὲν ἔπειτ᾿ ἐν Περκώτῃ λίπε νῆαϲ ἐίϲαϲ,
αὐτὰρ ὃ πεζὸϲ ἐὼν εἰϲ Ἴλιον εἰληλούθει·
ὅϲ ῥα τότ᾿ Ἀτρείδεω Ἀγαμέμνονοϲ ἀντίοϲ ἦλθεν.
οἳ δ᾿ ὅτε δὴ ϲχεδὸν ἦϲαν ἐπ᾿ ἀλλήλοιϲιν ἰόντεϲ,
Ἀτρείδηϲ μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ᾿ ἔγχοϲ,
Ἰφιδάμαϲ δὲ κατὰ ζώνην, θώρηκοϲ ἔνερθε,
νύξ᾿, ἐπὶ δ᾿ αὐτὸϲ ἔρειϲε βαρείῃ χειρὶ πιθήϲαϲ·
οὐδ᾿ ἔτορε ζωϲτῆρα παναίολον, ἀλλὰ πολὺ πρὶν
ἀργύρῳ ἀντομένη μόλιβοϲ ὣϲ ἐτράπετ᾿ αἰχμή.
καὶ τό γε χειρὶ λαβὼν εὐρὺ κρείων Ἀγαμέμνων
ἕλκ᾿ ἐπὶ οἷ μεμαὼϲ ὥϲ τε λίϲ, ἐκ δ᾿ ἄρα χειρὸϲ
ϲπάϲϲατο· τὸν δ᾿ ἄορι πλῆξ᾿ αὐχένα, λῦϲε δὲ γυῖα.
ὣϲ ὃ μὲν αὖθι πεϲὼν κοιμήϲατο χάλκεον ὕπνον
οἰκτρόϲ, ἀπὸ μνηϲτῆϲ ἀλόχου, ἀϲτοῖϲιν ἀρήγων,
κουριδίηϲ, ἧϲ οὔ τι χάριν ἴδε, πολλὰ δ᾿ ἔδωκε·
πρῶθ᾿ ἑκατὸν βοῦϲ δῶκεν, ἔπειτα δὲ χίλι᾿ ὑπέϲτη,
αἶγαϲ ὁμοῦ καὶ ὄϊϲ, τά οἱ ἄϲπετα ποιμαίνοντο.
δὴ τότε γ᾿ Ἀτρείδηϲ Ἀγαμέμνων ἐξενάριξε,
βῆ δὲ φέρων ἀν᾿ ὅμιλον Ἀχαιῶν τεύχεα καλά.
    τὸν δ᾿ ὡϲ οὖν ἐνόηϲε Κόων, ἀριδείκετοϲ ἀνδρῶν,
πρεϲβυγενὴϲ Ἀντηνορίδηϲ, κρατερόν ῥά ἑ πένθοϲ
ὀφθαλμοὺϲ ἐκάλυψε καϲιγνήτοιο πεϲόντοϲ.
ϲτῆ δ᾿ εὐρὰξ ϲὺν δουρὶ λαθὼν Ἀγαμέμνονα δῖον,

---

V. l. 227 μετα AL. — 228 δυοκαίδεκα ACG. — 230 ὃ ACDGHL. ἐὼν AH. — 231 ὃϲ ῥὰ DL. ἀντίοϲ A. ἦλθε D. — 232 οἴδ᾿ CGHL. ἐπαλλήλοιϲιν A. — 233 παρ D pro παραὶ. — 234 κατὰ θώνην L. θώρακοϲ G. ἔνερθε ACE Apoll. Lex. 81, 14. — 235 ἐπι D. ἔρειϲε: ἔρυκε L. — 236 παναίολον A. — 237 μόλιβοϲ ACDEHL Apoll. Lex. 15, 13. μόλυβδοϲ G ex corr. Vrat. A. ὡϲ AD. — 238 τότε D 1. man., nunc τόγε. εὐρὺ κρείων A. — 239 ἐπί οἱ E 840, 64 H. ἐπι οἱ D. λῖϲ S. — 240 ϲπάϲατο CDEG. — 241 ὡϲ AD 1. man. E. ὃ μὲν C. — 242 ἄπο CD 2. man. post ras. EGH. ἀλόχοιο C. — 243 χάριν οἶδε CH. ἔδωκε ACDEGH. — 244 ἔδωκεν G. — 245 ὀΐαϲ C. — 246 ἐξενάριξε ACG. — 247 ἀν A. ἀνόμιλον D. — 248 ἀριδείκετοϲ A. — 249 κρατερὸν ῥαοι H. ῥὰ ἔπενθοϲ G.

---

A. c. 230 διχῶϲ καὶ ἑών καὶ ἰών Didymus. — 239 οἷ Herodianus. Aristarchus λίϲ: λῖϲ Aeschrio, conf. Eust. 841, 23. — 251 εὐρὰξ Herodianus, conf. Eust. 842, 43.

νύξε δέ μιν κατὰ χεῖρα μέϲην, ἀγκῶνοϲ ἔνερθεν,
ἀντικρὺ δὲ διέϲχε φαεινοῦ δουρὸϲ ἀκωκή.
ῥίγηϲέν τ᾿ ἄρ᾿ ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ἀλλ᾿ οὐδ᾿ ὧϲ ἀπέληγε μάχηϲ ἠδὲ πτολέμοιο,
ἀλλ᾿ ἐπόρουϲε Κόωνι ἔχων ἀνεμοτρεφὲϲ ἔγχοϲ.
ἤ τοι ὃ Ἰφιδάμαντα καϲίγνητον καὶ ὄπατρον
ἕλκε ποδὸϲ μεμαώϲ, καὶ ἀύτει πάνταϲ ἀρίϲτουϲ·
τὸν δ᾿ ἕλκοντ᾿ ἀν᾿ ὅμιλον ὑπ᾿ ἀϲπίδοϲ ὀμφαλοέϲϲηϲ
οὔτηϲε ξυϲτῷ χαλκήρεϊ, λῦϲε δὲ γυῖα·
τοῖο δ᾿ ἐπ᾿ Ἰφιδάμαντι κάρη ἀπέκοψε παραϲτάϲ.
ἔνθ᾿ Ἀντήνοροϲ υἷεϲ ὑπ᾿ Ἀτρείδῃ βαϲιλῆι
πότμον ἀναπλήϲαντεϲ ἔδυν δόμον Ἄϊδοϲ εἴϲω.
αὐτὰρ ὃ τῶν ἄλλων ἐπεπωλεῖτο ϲτίχαϲ ἀνδρῶν
ἔγχεΐ τ᾿ ἄορί τε μεγάλοιϲί τε χερμαδίοιϲιν,
ὄφρά οἱ αἷμ᾿ ἔτι θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆϲ.
αὐτὰρ ἐπεὶ τὸ μὲν ἕλκοϲ ἐτέρϲετο, παύϲατο δ᾿ αἷμα,
ὀξεῖαι δ᾿ ὀδύναι δῦνον μένοϲ Ἀτρεΐδαο.
ὡϲ δ᾿ ὅτ᾿ ἂν ὠδίνουϲαν ἔχῃ βέλοϲ ὀξὺ γυναῖκα,
δριμύ, τό τε προϊεῖϲι μογοϲτόκοι εἰλείθυιαι,
Ἥρηϲ θυγατέρεϲ πικρὰϲ ὠδῖναϲ ἔχουϲαι,
ὣϲ ὀξεῖ᾿ ὀδύναι δῦνον μένοϲ Ἀτρεΐδαο.
ἐϲ δίφρον δ᾿ ἀνόρουϲε, καὶ ἡνιόχῳ ἐπέτελλε
νηυϲὶν ἔπι γλαφυρῇϲιν ἐλαυνέμεν· ἤχθετο γὰρ κῆρ.
ἤυϲεν δὲ διαπρύϲιον Δαναοῖϲι γεγωνώϲ·

---

V. L. 252 κατα D. — 254 ῥίγηϲε E. τ᾿ (δ᾿ supra) ἄρ᾿ A. ἂρ DGL. — 255 οὐδὲ L. ὧϲ libri. πολέμοιο S. — 256 ἀνεμοτρεφὲϲ A. — 257 ὃ ADGHL. ὃ omitt. C. — 258 μεμαὼϲ omitt. L. — 259 ἀνόμιλον AD. — 261 κάρη (ν supra) G. — 262 ἔνθα G. ὑπατρείδηι A. — 263 ἔδυν ADEGH: ἔβαν CLS Cant. Lips. Townl. — 264 ὃ ACDGHL. — 265 ἔγχει H. χερμαδίοιϲι D. — 266 ὄφρά οἱ ACDHL Et. Mg. 106, 21. ἐξωτειλῆϲ A. — 267 ἐτέρϲατο G 2. man. — 268 ὀξεῖαι δ᾿, non ὀξεῖαι, libri mei cum Cant. Mor. Harl. Townl. ὀδῦναι CD. — 269 ὅταν CDEHL Schol. A 519, Θ 513. Schol. Pind. Ol. VIII, 111. Schol. Apoll. Rhod. I, 262. Plutarchus de Amore prolis 4. — — 270 τό, τε AH. τό τοι C. τό γε Harl. Vrat. A. προϊεῖϲαι D. προϊᾶϲι Plutarchus de Amore prolis 4. μογοϲτόκοι A. εἰλήθυιαι G. — 271 θυγατέραϲ D. — 272 ὀξεῖαι D. ὀδῦναι CD. — 273 ἐπέτελλε ACGH. — 274 ἐπι A. ἐπὶ CDEGHL. ἐλαύνειν AD. — 275 ἤϋϲε DG.

---

A. c. 257 ὄπατρον Herodianus, ψιλῶϲ, conf. Eust. 843, 9. — 263 ἔδυν Herodianus. — 270 Aristarchus μογοϲτόκοι: alii μογόϲτοκοι, conf. Eust. 843, 55.

ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ὑμεῖς μὲν νῦν νηυςὶν ἀμύνετε ποντοπόροιςι
φύλοπιν ἀργαλέην, ἐπεὶ οὐκ ἐμὲ μητίετα Ζεὺς
εἴαςε Τρώεςςι πανημέριον πολεμίζειν.
ὣς ἔφαθ', ἡνίοχος δ' ἵμαςεν καλλίτριχας ἵππους
νῆας ἔπι γλαφυράς· τὼ δ' οὐκ ἀέκοντε πετέςθην·
ἄφρεον δὲ ςτήθεα, ῥαίνοντο δὲ νέρθε κονίῃ,
τειρόμενον βαςιλῆα μάχης ἀπάνευθε φέροντες.
Ἕκτωρ δ' ὡς ἐνόης' Ἀγαμέμνονα νόςφι κιόντα,
Τρωςί τε καὶ Λυκίοιςιν ἐκέκλετο μακρὸν ἀύςας·
Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρες ἔςτε, φίλοι, μνήςαςθε δὲ θούριδος ἀλκῆς.
οἴχετ' ἀνὴρ ὤριςτος, ἐμοὶ δὲ μέγ' εὖχος ἔδωκε
Ζεὺς Κρονίδης. ἀλλ' ἰθὺς ἐλαύνετε μώνυχας ἵππους
ἰφθίμων Δαναῶν, ἵν' ὑπέρτερον εὖχος ἄρηςθε.
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάςτου.
ὡς δ' ὅτε πού τις θηρητὴρ κύνας ἀργιόδοντας
ςεύῃ ἐπ' ἀγροτέρῳ ςυΐ καπρίῳ ἠὲ λέοντι,
ὣς ἐπ' Ἀχαιοῖςιν ςεῦε Τρῶας μεγαθύμους
Ἕκτωρ Πριαμίδης, βροτολοιγῷ ἶςος Ἄρηι.
αὐτὸς δ' ἐν πρώτοιςι μέγα φρονέων ἐβεβήκει,
ἐν δ' ἔπες' ὑςμίνῃ ὑπεραέι ἶςος ἀέλλῃ,
ἥ τε καθαλλομένη ἰοειδέα πόντον ὀρίνει.
ἔνθα τίνα πρῶτον, τίνα δ' ὕςτατον ἐξενάριξεν
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν;
Ἀςαῖον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ὀπίτην

V. L. 277 νῦν omitt. D. ποντοπόροιςι ACG. — 278 οὔ κε με μητιέτα L. — 279 τρῴεςςι L. πανημέριον A. — 280 ὡς A. φάθ' D. ἵμαςε EL. — 281 ἐπὶ ACDGHL. ἀέκοντε Harl. Lips.: ἄκοντε libri mei. — 282 δὲ, νέρθε A: δ' ἔνερθε HLS Cant. Townl. — 283 φέροντε S. — 284 ἐνόηςεν L. — 285 τρῳςί L. — 286 τρῷες L. — 287 ἔςτε AD: ἐςτὲ CGHL. — 288 ὤριςτος AH. μέγα G. ἔδωκε ACDEGH. — 290 ἄρηιςθε D. — 291 ὡς A. — 292 ὅτέ H. ποῦ C. που DH. θηρατὴρ H. — 293 ςεύει C. κάπρίῳ (ω) S. κάπρῳ Vrat. A. Mosc. 3. — 294 ὡς A. ἀχαιοῖςι CEG. ςεῦεν D. τρῷας L. — 297 ὑπεραεῖ H. — 298 ἥ, τε A. καθ' ἀλλομένη D. — 300 ὅτέ οἱ CGH. πριαμίδης βροτολοίγωι ἶςος ἄρηϊ A. — 301 ἀςαῖον ACDEH Harl. Townl.: ἀςςαῖον GLS.

A. c. 290 ὑπέρτερον: ἀρίςταρχος ὑπέρτεροι Didymus. — 297 ὑπεραέϊ Herodianus. ὅτι ἔν τιςι γράφεται ὑπὲρ οὔρεος ἶςος ἀέλλῃ Aristonicus. — 301 Ἀςαῖον Herodianus.

καὶ Δόλοπα Κλυτίδην καὶ Ὀφέλτιον ἠδ᾽ Ἀγέλαον
Αἰϲυμνόν τ᾽ Ὦρόν τε καὶ Ἱππόνοον μενεχάρμην.
τοὺϲ ἄρ᾽ ὅ γ᾽ ἡγεμόναϲ Δαναῶν ἕλεν, αὐτὰρ ἔπειτα
πληθύν, ὡϲ ὁπότε νέφεα Ζέφυροϲ ϲτυφελίξῃ
ἀργεϲτᾶο νότοιο, βαθείῃ λαίλαπι τύπτων·
πολλὸν δὲ τρόφι κῦμα κυλίνδεται, ὑψόϲε δ᾽ ἄχνη
ϲκίδναται ἐξ ἀνέμοιο πολυπλάγκτοιο ἰωῆϲ·
ὣϲ ἄρα πυκνὰ καρήαθ᾽ ὑφ᾽ Ἕκτορι δάμνατο λαῶν.
ἔνθά κε λοιγὸϲ ἔην καὶ ἀμήχανα ἔργα γένοντο,
καί νύ κεν ἐν νήεϲϲι πέϲον φεύγοντεϲ Ἀχαιοί,
εἰ μὴ Τυδείδῃ Διομήδεϊ κέκλετ᾽ Ὀδυϲϲεύϲ·
Τυδείδη, τί παθόντε λελάϲμεθα θούριδοϲ ἀλκῆϲ;
ἀλλ᾽ ἄγε δεῦρο πέπον παρ᾽ ἔμ᾽ ἵϲταϲο· δὴ γὰρ ἔλεγχοϲ
ἔϲϲεται, εἴ κεν νῆαϲ ἕλῃ κορυθαίολοϲ Ἕκτωρ.
τὸν δ᾽ ἀπαμειβόμενοϲ προϲέφη κρατερὸϲ Διομήδηϲ·
ἦ τοι ἐγὼ μενέω καὶ τλήϲομαι· ἀλλὰ μίνυνθα
ἡμέων ἔϲϲεται ἦδοϲ, ἐπεὶ νεφεληγερέτα Ζεὺϲ
Τρωϲὶν δὴ βόλεται δοῦναι κράτοϲ ἠέ περ ἡμῖν.
ἦ, καὶ Θυμβραῖον μὲν ἀφ᾽ ἵππων ὦϲε χαμᾶζε
δουρὶ βαλὼν κατὰ μαζὸν ἀριϲτερόν· αὐτὰρ Ὀδυϲϲεὺϲ
ἀντίθεον θεράποντα Μολίονα τοῖο ἄνακτοϲ.
τοὺϲ μὲν ἔπειτ᾽ εἴαϲαν, ἐπεὶ πολέμου ἀπέπαυϲαν·
τὼ δ᾽ ἀν᾽ ὅμιλον ἰόντε κυδοίμεον, ὡϲ ὅτε κάπρω

---

V. ι. 304 τοῦϲ A. ἂρ D. ἀρ A. — 305 ὁπότ᾽ ἂν νέφεα H. Ζέφυροϲ νέφεα LS Strabo I, 29. ϲτυφελίξει CE 845, 55 et 59. ϲτυφελίζει E 845, 51. — 306 ἀργέϲταο L. ἀργεϲτάο Et. Mg. 136, 28. ceteri ἀργεϲτᾶο cum Apoll. Lex. 42, 26. Strab. I, 29. — 308 πολυπλάγκτοιο A. πολυπλάκτοιο DGH. — 309 κάρηνα L. δάμναντο L. λαῶν E 845, 56: ἀνδρῶν E 846, 28. — 310 ἔνθά κε ACDGHL. γένοιτο S. ἔργ᾽ ἐγένοντο L. — 313 παθόντεϲ D. — 314 δεῦρο omitt. C. παρ᾽ ἒμ᾽ A. παρὲμ᾽ D. παρ᾽ ἐμ᾽ G. — 315 αἴ κε C. ἕλῃ νῆαϲ E. ἕλοι L. κορυθαιόλοϲ DE. — 318 ἡμῶν E. ἦδοϲ D. εἶδοϲ G. — 319 τρῳϲὶν L. τρωϲὶ DE. τρωϲί γε βούλεται G. βούλεται CDEG HLS Mor. Barocc. Harl. Townl. Lips. Vrat. b. A. — 320 χαμᾶζε AD. χαμάζε GHL. χάμᾶζε (sic) C ex corr. — 321 κατα A. — 323 εἴαϲεν DH Lips. ἀπέπαυϲεν DH. — 324 ἀν A. ἂν E. ἀνόμιλον D. κάπρῳ L.

---

A. c. 306 ἀργεϲτᾶο Herodianus προπεριϲπωμένωϲ. — 314 ἵϲταϲο: ἵϲταο Aristarchus cum Zenodoto, conf. H. T. 292. — 318 ἦδοϲ Herodianus: ἧδοϲ Trypho, conf. H. T. 270. — 319 βόλεται Aristarchus, conf. α 234.

ἐν κυϲὶ θηρευτῇϲι μέγα φρονέοντε πέϲητον·
ὣϲ ὄλεκον Τρῶαϲ πάλιν ὀρμένω· αὐτὰρ Ἀχαιοὶ
ἀϲπαϲίωϲ φεύγοντεϲ ἀνέπνεον Ἕκτορα δῖον.
ἔνθ' ἑλέτην δίφρόν τε καὶ ἀνέρε δήμου ἀρίϲτω,
υἷε δύω Μέροποϲ Περκωϲίου, ὃϲ περὶ πάντων
ᾔδεε μαντοϲύναϲ, οὐδὲ οὓϲ παῖδαϲ ἔαϲκε
ϲτείχειν ἐϲ πόλεμον φθιϲήνορα· τὼ δέ οἱ οὔ τι
πειθέϲθην· κῆρεϲ γὰρ ἄγον μέλανοϲ θανάτοιο.
τοὺϲ μὲν Τυδείδηϲ δουρὶ κλειτὸϲ Διομήδηϲ
θυμοῦ καὶ ψυχῆϲ κεκαδὼν κλυτὰ τεύχε' ἀπηύρα·
Ἱππόδαμον δ' Ὀδυϲεὺϲ καὶ Ὑπείροχον ἐξενάριξεν.
ἔνθά ϲφιν κατὰ ἶϲα μάχην ἐτάνυϲϲε Κρονίων
ἐξ Ἴδηϲ καθορῶν· τοὶ δ' ἀλλήλουϲ ἐνάριζον.
ἦ τοι Τυδέοϲ υἱὸϲ Ἀγάϲτροφον οὔταϲε δουρὶ
Παιονίδην ἥρωα κατ' ἰϲχίον· οὐ γάρ οἱ ἵπποι
ἐγγὺϲ ἔϲαν προφυγεῖν, ἀάϲατο δὲ μέγα θυμῷ.
τοὺϲ μὲν γὰρ θεράπων ἀπάνευθ' ἔχεν, αὐτὰρ ὃ πεζὸϲ
θῦνε διὰ προμάχων, εἵωϲ φίλον ὤλεϲε θυμόν.
Ἕκτωρ δ' ὀξὺ νόηϲε κατὰ ϲτίχαϲ, ὦρτο δ' ἐπ' αὐτοὺϲ
κεκληγώϲ· ἅμα δὲ Τρώων εἵποντο φάλαγγεϲ.
τὸν δὲ ἰδὼν ῥίγηϲε βοὴν ἀγαθὸϲ Διομήδηϲ,
αἶψα δ' Ὀδυϲϲῆα προϲεφώνεεν ἐγγὺϲ ἐόντα·

V. L. 325 θηρευτῆϲ L. πέϲοιτον L. — 326 ὡϲ A. τρῷαϲ L. παλινορμένω A. πάλιν ὀρμένω E 847, 6 et 22 S Vrat. b. A. — 329 πέρι GL. — 330 οἶδεν μαντοϲύναϲ H. οὐδ' ἑοὺϲ ACDEGHL Harl. Townl. Vrat. A. Mosc. 3. οὐδὲ ἑοὺϲ Mor. Vrat. b. ἔαϲκε ACDEGH. — 331 εἰϲ D. τώδε οἱ G. — 332 μέλανεϲ G. — 333 δουρὶ, κλυτὸϲ (ει) A. δουρὶ κλυτὸϲ Vrat. b. δουρϊκλυτὸϲ CD. — 334 ἀπηῦρα D. — 335 ἱππόδαμόν A. ἱππόδομον D. ὀδυϲϲεὺϲ DGH. ἐξενάριξε L. — 336 ἔνθά ϲφιν ACGHL. ἔνθά ϲφι D. κατ' G. ἐτάνυϲε DEGL. — 337 τοὶ δ': οἳ δ' LS. οἵδ' GH. — 339 οὐ γάρ οἱ ACDEGLS: οὐδέ οἱ H. ἐν ἄλλῳ οὐδὲ γὰρ ἵπποι A. — 340 ἦϲαν C. πρὸ φυγὴν G. — 341 ἀπάνευθεν L. ὃ ACDGHL. — 342 δια A. οἶοϲ φίλον H 1. man. — 344 τρῴων L. — 345 τόνδε G. ῥίγηϲεν AD. ἐρίγηϲε H. ἐρίγηρε S. ἰδὼν ἐνόηϲε C Lips. Townl. γράφεται ἐνόηϲε A. γράφουϲί τινεϲ ἰδὼν ἐνόηϲε Eust. 848, 24, conf. Λ 599.

A. c. 325 διχῶϲ θηρευτῆρϲι καὶ θηρευτῇϲι Didymus, conf. M 41, H. T. 281. — 326 παλινορμένω Aristarchus et Hermappias: πάλιν ὀρμένω Tyrannio, cf. Et. Mg. 648, 33. — 330 οὐδὲ οὓϲ hic et B 831 scriptum est invitis libris, qui οὐδ' ἑοὺϲ exhibent; nam ε̄ in ἑούϲ nullo pacto produci potest, nihil autem obstat, quin ε̄ ante ϝούϲ in caesura semiseptenaria producatur. — 339 οὐ γάρ οἱ dedi ex libris optimis: recentiores digammi causa οὐδέ οἱ ex Bentlei coniectura, conf. ad B 665.

νῶιν δὴ τόδε πῆμα κυλίνδεται ὄβριμος Ἕκτωρ·
ἀλλ᾽ ἄγε δὴ ςτέωμεν καὶ ἀλεξώμεςθα μένοντες.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόςκιον ἔγχος,
καὶ βάλεν, οὐδ᾽ ἀφάμαρτε, τιτυςκόμενος κεφαλῆφιν,
ἄκρην κὰκ κόρυθα· πλάγχθη δ᾽ ἀπὸ χαλκόφι χαλκός,
οὐδ᾽ ἵκετο χρόα καλόν· ἐρύκακε γὰρ τρυφάλεια
τρίπτυχος αὐλῶπις, τήν οἱ πόρε Φοῖβος Ἀπόλλων.
Ἕκτωρ δ᾽ ὦκ᾽ ἀπέλεθρον ἀνέδραμε, μίκτο δ᾽ ὁμίλῳ,
ςτῆ δὲ γνὺξ ἐριπὼν καὶ ἐρείςατο χειρὶ παχείῃ
γαίης· ἀμφὶ δὲ ὄςςε κελαινὴ νὺξ ἐκάλυψεν.
ὄφρα δὲ Τυδείδης μετὰ δούρατος ᾤχετ᾽ ἐρωὴν
τῆλε διὰ προμάχων, ὅθι οἱ καταείςατο γαίης,
τόφρ᾽ Ἕκτωρ ἔμπνυτο, καὶ ἂψ ἐς δίφρον ὀρούςας
ἐξέλας᾽ ἐς πληθύν, καὶ ἀλεύατο κῆρα μέλαιναν.
δουρὶ δ᾽ ἐπαΐςςων προςέφη κρατερὸς Διομήδης·
ἐξ αὖ νῦν ἔφυγες θάνατον κύον· ἦ τέ τοι ἄγχι
ἦλθε κακόν· νῦν αὖτέ ς᾽ ἐρύςατο Φοῖβος Ἀπόλλων,
ᾧ μέλλεις εὔχεςθαι ἰὼν ἐς δοῦπον ἀκόντων.
ἦ θήν ς᾽ ἐξανύω γε καὶ ὕςτερον ἀντιβολήςας,
εἴ πού τις καὶ ἐμοί γε θεῶν ἐπιτάῤῥοθός ἐςτι.
νῦν αὖ τοὺς ἄλλους ἐπιείςομαι, ὅν κε κιχείω.
ἦ, καὶ Παιονίδην δουρὶ κλυτὸν ἐξενάριξεν.
αὐτὰρ Ἀλέξανδρος, Ἑλένης πόςις ἠυκόμοιο,

---

V. l. 347 ὄμβριμος CH. — 348 ςτέωμεν ADGHLS Cant. Barocc. Mor. Lips. Et. Mg. 727, 28. ςταίωμεν C Vrat. A. ςτέομεν E bis Mosc. 3. ἀλεξώμεθα CDGH, conf. X 231. — 349 ἦ ῥὰ CDGHL. δολιχόςκιον A. — 350 κεφαλῆφι D. κεφαλῆφιν E ter. κεφαλῆιφι A. — 351 κακκόρυθα AC DGL. κἀκκόρυθα H. ἀπο A. — 354 ὦκα πέλεθρον L. ἀπέλαθρον G. — 355 ἐρειπὼν C. — 356 ἀμφι D. — 357 δόρατος C. — 358 δια A. καταείςατο A. γαίῃ C Schol. M 103. Hesych. II, 422. γαίη Lips. — 359 * ἔμπνυτο: libri ἄμπνυτο. — 362 ἤ τέ τοι D. ἦ τε τοι G. — 363 νῦν δ᾽ C. ς᾽ omitt. L. ἐρύςατο ACDEGHL: ἐρύςςατο recentiores quidam cum Barnesio. — 366 εἴ που τις ADHL. εἴ που τῖς C. ἤ πού τις G. ἐμοί γε AC: ceteri ἔμοιγε. θεὸς E. ἐςτι ACDEGH. ἐςτίν L. ἐν ἄλλῳ ἐπιτάρροθος εἴη A. — 367 δ᾽ αὖ D. — 368 δουρὶ κλυτὸν A. δουρικλειτὸν L. ἐξενάριζεν A: ceteri ἐξενάριξεν. — 369 ἠΰκόμοιο A.

---

A. c. 348 ςτέωμεν, conf. H. U. 152. μένοντες: μένοντε Zenodotus. — 356 obelus cum asterisco, ὀρθῶς E 309. προηθέτει Ἀριςτοφάνης· Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν Didymus. — 359 ἔμπνυτο, ni fallor, Aristarchus, conf. H. T. 290. — 363 ἐρύςατο, conf. ad B 859. — 368 ἐξενάριξεν Zenodotus. ἀρίςταρχος παρατατικῶς ἐξενάριζεν Didymus, conf. E 842.

Τυδείδῃ ἔπι τόξα τιταίνετο, ποιμένι λαῶν,
στήλῃ κεκλιμένος ἀνδροκμήτῳ ἐπὶ τύμβῳ
Ἴλου Δαρδανίδαο, παλαιοῦ δημογέροντος.
ἤ τοι ὃ μὲν θώρηκα Ἀγαστρόφου ἰφθίμοιο
αἴνυτ' ἀπὸ στήθεσφι παναίολον ἀσπίδα τ' ὤμων
καὶ κόρυθα βριαρήν· ὃ δὲ τόξου πῆχυν ἄνελκε
καὶ βάλεν, οὐδ' ἄρα μιν ἅλιον βέλος ἔκφυγε χειρός,
ταρσὸν δεξιτεροῖο ποδός· διὰ δ' ἀμπερὲς ἰὸς
ἐν γαίῃ κατέπηκτο. ὃ δὲ μάλα ἡδὺ γελάσσας
ἐκ λόχου ἀμπήδησε καὶ εὐχόμενος ἔπος ηὔδα·
βέβληαι, οὐδ' ἅλιον βέλος ἔκφυγεν· ὡς ὄφελόν τοι
νείατον ἐς κενεῶνα βαλὼν ἐκ θυμὸν ἑλέσθαι.
οὕτω κεν καὶ Τρῶες ἀνέπνευσαν κακότητος,
οἵ τέ σε πεφρίκασι λέονθ' ὡς μηκάδες αἶγες.
τὸν δ' οὐ ταρβήσας προσέφη κρατερὸς Διομήδης·
τοξότα, λωβητήρ, κέραι ἀγλαέ, παρθενοπῖπα,
εἰ μὲν δὴ ἀντίβιον σὺν τεύχεσι πειρηθείης,
οὐκ ἄν τοι χραίσμῃσι βιὸς καὶ ταρφέες ἰοί·
νῦν δέ μ' ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτως.
οὐκ ἀλέγω, ὡς εἴ με γυνὴ βάλοι ἢ πάις ἄφρων·

---

V. l. 370 ἐπι A. ἐπὶ CDGHL. — 371 ἀνδροκμήτωι A. ἔργωι C et man. rec. γρ. τύμβῳ. — 372 ἴλλου Cant. cum aliis. 373 ὃ μὲν C. — 374 στήθεσφιν G. ὦμον L. — 375 ὃ δὲ C. ἀνεῖλκε CDEGHS. ἀνεῖλκεν L. ἄνελκεν A. — 376 ἔκφυγε: ἔκπεσε L, conf. B 266. — 377 διαμπερὲς GHL. — 378 ὃ δὲ C. μάλ' L. γελάσας D Barocc. — 379 λόχου τ' G. ηῦδα D. — 380 βέβλη' H. ὄφελόν γε Vrat. A. — 381 θυμὸν ὀλέσσαι H. ὀλέσαι ἢ μᾶλλον ἑλέσθαι Eust. 850, 10. — 382 καὶ omitt. GL. τρῷες L. — 383 οἵ τέ σε ACDEHL. — 385 κέραι A. κέρα DEGL Et. Mg. 504, 56. Cram. An. Ox. II, 382, 31. κέρᾳ H. καίρ (ε supra) C. κέρ' Apoll. Lex. 98, 11. Eust. 401, 41. παρθενοπίπα DGL. ἕτεροι δὲ παρθενοπῖα γράφουσιν E 851, 57. — 388 νῦν δ' ἐμ' Mosc. 3. ταρσῷ Apoll. Lex. 55, 24. αὐτως A. αὔτως GEH Bekk. An. 238, 27; 630, 30. Pseudoplut. 138, 30. οὕτως Cram. An. Ox. III, 69, 19 (Cod. A αὔτως). — 389 ὡς εἴ με ACDEHL Apoll. Lex. 22, 31. ὡσεί με G Et. Gud. 364, 6. βάλῃ Suidas I, 1, 196, 5.

---

A. c. 370 ἔπι Herodianus. — 375 ἀνεῖλκε Schol. BL: Aristarchus ἄνελκε, conf. H. T. 238. — 383 οἵ τε σὲ Alexio. — 385 σὺν τῷ ῑ ἔγραψάν τινες τὸ κέραι, ἵνα ᾖ δοτική, ὁμοίως τὸ δέπαι (κ 316) καὶ „γήραι ὕπο λιπαρῷ“ (λ 136). οὕτως δὲ καὶ δοκεῖ ἐπικρατεῖν ἡ παράδοσις, ὡς καὶ Ἀλεξίων ἀξιοῖ Herodianus. alii κέρα πληθυντικῶς, conf. Cram. An. Ox. II, 382, 29, H. U. 179. Aristarchum κέραι scripsisse colligo ex scholio Aristonici „ὅτι κέραι οὐ τῇ τριχὶ ψιλῶς, ἀλλ' ἐμπλοκῆς τι γένος. τὸ δὲ παρθενοπῖπα τινὲς παρθενοπῖα, παρθένοις ἐοικώς Schol. A.

κωφὸν γὰρ βέλοϲ ἀνδρὸϲ ἀνάλκιδοϲ οὐτιδανοῖο.
ἦ τ᾽ ἄλλωϲ ὑπ᾽ ἐμεῖο, καὶ εἴ κ᾽ ὀλίγον περ ἐπαύρῃ,
ὀξὺ βέλοϲ πέλεται, καὶ ἀκήριον ἄνδρα τίθηϲι·
τοῦ δὲ γυναικὸϲ μέν τ᾽ ἀμφίδρυφοί εἰϲι παρειαί,
παῖδέϲ τ᾽ ὀρφανικοί· ὃ δέ θ᾽ αἵματι γαῖαν ἐρεύθων
πύθεται, οἰωνοὶ δὲ περὶ πλέεϲ ἠὲ γυναῖκεϲ.
ὣϲ φάτο, τοῦ δ᾽ Ὀδυϲεὺϲ δουρὶ κλυτὸϲ ἐγγύθεν ἐλθὼν
ἔϲτη πρόϲθ᾽· ὃ δ᾽ ὄπιϲθε καθεζόμενοϲ βέλοϲ ὠκὺ
ἐκ ποδὸϲ ἕλκ᾽, ὀδύνη δὲ διὰ χροὸϲ ἦλθ᾽ ἀλεγεινή.
ἐϲ δίφρον δ᾽ ἀνόρουϲε, καὶ ἡνιόχῳ ἐπέτελλε
νηυϲὶν ἔπι γλαφυρῇϲιν ἐλαυνέμεν· ἤχθετο γὰρ κῆρ.
οἰώθη δ᾽ Ὀδυϲεὺϲ δουρὶ κλυτόϲ, οὐδέ τιϲ αὐτῷ
Ἀργείων παρέμεινεν, ἐπεὶ φόβοϲ ἔλλαβε πάνταϲ·
ὀχθήϲαϲ δ᾽ ἄρα εἶπε πρὸϲ ὃν μεγαλήτορα θυμόν·
ὤμοι ἐγώ, τί πάθω; μέγα μὲν κακόν, αἴ κε φέβωμαι
πληθὺν ταρβήϲαϲ· τὸ δὲ ῥίγιον, αἴ κεν ἁλώω
μοῦνοϲ· τοὺϲ δ᾽ ἄλλουϲ Δαναοὺϲ ἐφόβηϲε Κρονίων.
ἀλλὰ τί ἤ μοι ταῦτα φίλοϲ διελέξατο θυμόϲ;
οἶδα γὰρ ὅττι κακοὶ μὲν ἀποίχονται πολέμοιο,
ὃϲ δέ κ᾽ ἀριϲτεύῃϲι μάχῃ ἔνι, τὸν δὲ μάλα χρεὼ
ἑϲτάμεναι κρατερῶϲ, ἤ τ᾽ ἔβλητ᾽ ἤ τ᾽ ἔβαλ᾽ ἄλλον.
εἶοϲ ὃ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
τόφρα δ᾽ ἐπὶ Τρώων ϲτίχεϲ ἤλυθον ἀϲπιϲτάων,

V. L. 391 ὑπεμεῖο A. ἐμοῖο GHS. ἐπαύροι L. — 392 ἄνδρα: αἶψα libri. τίθηϲι ACDEGHL. — 393 μέν τοι G. τ᾽ omitt. EH. ἀμφίδρυφοι εἰϲὶ GL. — 394 παῖδέϲ τ᾽ CDH Townl. παῖδεϲ $\overset{τ}{δ}$᾽ A. ὅδ᾽ αἵματι G. ὁ δὲ αἵματι E. ἐρέφθων L. — 395 περὶ, πλέεϲ A. περιπλέεϲ CDHL. — 396 ὡϲ A. ὀδυϲϲεὺϲ DG. δουρὶ κλυτὸϲ A. — 397 ὅδ᾽ CGH. ὀξὺ ἢ ὠκὺ E 852, 43. — 398 * ἕλκ᾽: εἷλκ᾽ ACDGHLS. εἷλκεν E. — 399 ἐπέτελλε ACGHS. — 400 ἐπὶ ACDGHL. ἐλαύνειν HL. ἤχθετο γὰρ κῆρ: γρ. ὠκέαϲ ἵππουϲ A. — 401 ὀδυϲϲεὺϲ DG. δουρὶ κλυτὸϲ A. — 402 παρέμιμνε E. ἔλαβε DG. — 404 ᾤμοι ACDE bis G. μέγα $\overset{κεν}{μὲν}$ Harl. — 405 ἀλώω DL. — 407 τί ἤ Io. Alex. 42, 24. τί ἦ Cram. An. Par. III, 302, 23. τιή Eust. 1274, 61. libri τίη. — 408 ὅτι DG. — 409 ἔνι omitt. L. τὸν δὲ A: τόνδε CDEGHLS. χρειώ GL. — 410 ἦτε βάλ᾽ D. — 411 * εἶοϲ: ἕωϲ ACDEGH 1. man. L Draco de Metr. 8, 15. εἵωϲ H ex corr. δ ACDGHL. — 412 τρῴων L.

A. c. 391 ἔν τιϲι γράφεται ἐπαύρω Schol. A. — 392 αἶψα: ἀρίϲταρχοϲ ἄνδρα τίθηϲι Didymus. — 395 περὶ πλέεϲ Ptolemaeus Ascalonita et Alexio: περίπλεεϲ Tyrannio. — 397 ἕλκ᾽, conf. 357. — 404 ᾤμοι, conf. H. U. 188. — 409 τὸν δὲ Tyrannio, probante Herodiano: τόνδε Alexio, conf. H. T. 362.

ἕλϲαν δ' ἐν μέϲϲοιϲι, μετὰ ϲφίϲι πῆμα τιθέντεϲ.
ὡϲ δ' ὅτε κάπριον ἀμφὶ κύνεϲ θαλεροί τ' αἰζηοὶ
ϲεύωνται, ὃ δέ τ' εἶϲι βαθείηϲ ἐκ ξυλόχοιο
θήγων λευκὸν ὀδόντα μετὰ γναμπτῇϲι γένυϲϲιν,
ἀμφὶ δέ τ' ἀίϲϲονται, ὑπαὶ δέ τε κόμποϲ ὀδόντων
γίγνεται, οἳ δὲ μένουϲιν ἄφαρ δεινόν περ ἐόντα,
ὥϲ ῥα τότ' ἀμφ' Ὀδυϲῆα διίφιλον ἐϲϲεύοντο
Τρῶεϲ. ὃ δὲ πρῶτον μὲν ἀμύμονα Δηιοπίτην
οὔταϲεν ὦμον ὕπερθεν ἐπάλμενοϲ ὀξέι δουρί,
αὐτὰρ ἔπειτα Θόωνα καὶ Ἔννομον ἐξενάριξε.
Χερϲιδάμαντα δ' ἔπειτα, καθ' ἵππων ἀίξαντα,
δουρὶ κατὰ πρότμηϲιν ὑπ' ἀϲπίδοϲ ὀμφαλοέϲϲηϲ
νύξεν· ὃ δ' ἐν κονίῃϲι πεϲὼν ἕλε γαῖαν ἀγοϲτῷ.
τοὺϲ μὲν ἔαϲ', ὃ δ' ἄρ' Ἱππαϲίδην Χάροπ' οὔταϲε δουρί,
αὐτοκαϲίγνητον εὐηγενέοϲ Ϲώκοιο.
τῷ δ' ἐπαλεξήϲων Ϲῶκοϲ κίεν, ἰϲόθεοϲ φώϲ·
ϲτῆ δὲ μάλ' ἐγγὺϲ ἰὼν καί μιν πρὸϲ μῦθον ἔειπεν·
ὦ Ὀδυϲεῦ πολύαινε, δόλων ἆτ' ἠδὲ πόνοιο,
ϲήμερον ἢ δοιοῖϲιν ἐπεύξεαι Ἱππαϲίδῃϲι,
τοιώδ' ἄνδρε κατακτείναϲ καὶ τεύχε ἀπούραϲ,

V. ι. 413 μετα D. μετά ϲφιϲι E bis H. — 414 ἀμφι D. — 415 ϲεύωνται ADELS Cant. Townl. Vrat. b.: ϲεύονται CGH. ὃ δέ τ' L. ὅδέ. τ' H. ὅδε τ' G. — 416 γναμπτοῖϲι CHL Mor. Harl. 1. man. Lips. γναπτοῖϲι Barocc. γναπτῇϲι Townl. γένυϲιν E bis GL 1. man. γένυϲι Apoll. Lex. 42, 24. — 417 ἀμφι D. ἀμφί τε ἀΐϲϲονται AGHL Barocc. ἀμφί τ' ἀΐϲϲονται CES. ἀίϲϲοντα L. — 418 γίγνεται GL: γίνεται ACDEH. — 419 ὧϲ ῥὰ DL. ὀδυϲϲῆϊ G. ὀδυϲϲῆα D. διϊ φίλον ACDEGHL. ἐϲεύοντο L. — 420 τρῷεϲ L. ὁ δὲ C. μὲν omitt. G. δηϊοπήτην G. διοπίδην L. — 421 ὕπερθε μετάλμενοϲ HS Harl. Vrat. b. Mosc. 3. γρ. καὶ ὕπερθε μετάλμενοϲ A. δουρί: γρ. χαλκῷ A. — 422 καὶ ὅρμενον C. ὅρμενον Harl. ἐξενάριξε CH. — 423 χερϲιδάμαντα A. ἀΐξαντα AD: ἀΐϲϲοντα CHLS Barocc. Mor. Lips. Townl. Vrat. b. A. Mosc. 2. ἀΐϲοντα G. γρ. καὶ ἀΐϲϲοντα A. — 424 κατα AD. — 425 νύξ' D. ὁ δ' D. ὅδ' CGHL. — 426 ὅδ' CGHL. ἄρ CDGL. ἀρ A. — 427 αὐτοκαϲίγνητον A. — 428 φῶϲ D. — 429 μάλα G. — 430 ὀδυϲϲεῦ EG. ὀδυϲεὺϲ H. ἆτε EG. αὖτ' Mosc. 3. — 431 ἱππαϲίδῃϲι ACE. γρ. ἱπαϲιδῆϊν A. — 432 τοιῶδ' A.

A. c. 413 ἕλϲαν Herodianus. idem μετὰ ϲφίϲι. τιθέντεϲ: δὲ ἕλϲαν Zenodotus. — 421 οἱ δὲ ὕπερθε μετάλμενοϲ Schol. BL. — 424 οὕτωϲ ἀρίϲταρχοϲ δουρὶ κατα προτμηϲτιν (sic) Didymus. κατὰ πρόϲμηϲιν διὰ τοῦ ϲ̄. ἔν τιϲι κεῖται τὸ τ̄ (διὰ τοῦ τ̄?) Schol. V. — 427 εὐηγενέοϲ: εὐηφενέοϲ, conf. Schol. Ψ 81. — 432 τοιώδ', non τοιῶδ', Herodianus. ὅτι ἀκαίρωϲ προϲέῤῥιπται τὸ ἡμιϲτίχιον „καὶ τεύχε' ἀπούραϲ" Aristonicus.

ἤ κεν ἐμῷ ὑπὸ δουρὶ τυπεὶϲ ἀπὸ θυμὸν ὀλέϲϲῃϲ.
ὣϲ εἰπὼν οὔτηϲε κατ' ἀϲπίδα πάντοϲ' ἐίϲην.
διὰ μὲν ἀϲπίδοϲ ἦλθε φαεινῆϲ ὄβριμον ἔγχοϲ,
καὶ διὰ θώρηκοϲ πολυδαιδάλου ἠρήρειϲτο,
πάντα δ' ἀπὸ πλευρῶν χρόα ἔργαθεν, οὐδέ τ' ἔαϲε
Παλλὰϲ Ἀθηναίη μιχθήμεναι ἔγκαϲι φωτόϲ.
γνῶ δ' Ὀδυϲεὺϲ ὅ οἱ οὔ τι τέλοϲ κατακαίριον ἦλθεν,
ἂψ δ' ἀναχωρήϲαϲ Cῶκον πρὸϲ μῦθον ἔειπεν·
ἆ δείλ', ἦ μάλα δή ϲε κιχάνεται αἰπὺϲ ὄλεθροϲ.
ἤ τοι μὲν ἔμ' ἔπαυϲαϲ ἐπὶ Τρώεϲϲι μάχεϲθαι.
ϲοὶ δ' ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν
ἤματι τῷδ' ἔϲϲεϲθαι, ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα
εὖχοϲ ἐμοὶ δώϲειν, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ.
ἦ, καὶ ὃ μὲν φύγαδ' αὖτιϲ ὑποϲτρέψαϲ ἐβεβήκει,
τῷ δὲ μεταϲτρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
ὤμων μεϲϲηγύϲ, διὰ δὲ ϲτήθεϲφιν ἔλαϲϲε.
δούπηϲεν δὲ πεϲών· ὃ δ' ἐπεύξατο δῖοϲ Ὀδυϲϲεύϲ·
ὦ Cῶχ', Ἱππάϲου υἱὲ δαΐφρονοϲ, ἱπποδάμοιο,
φθῆ ϲε τέλοϲ θανάτοιο κιχήμενον, οὐδ' ὑπάλυξαϲ.
ἆ δείλ', οὐ μὲν ϲοί γε πατὴρ καὶ πότνια μήτηρ

---

V. l. 433 ἢ A. ἤ CD. ὑπο CD. ὀλέϲϲειϲ DS Cant. — 434 ὡϲ A. οὔταϲε L. πάντοϲε, ἶϲην AD. πάντοϲε ἴϲην L post ras. S. — 435 ὀμβριμον CH. — 436 δια A. ἠρήρϊϲτο H. — 437 χρό' ἐέργαθεν L. οὐδ' ἔτ' Lips. ἔαϲε AGH Lips. ἔαϲϲε C. — 438 ἀθήνη G. — 439 ὀδυϲϲεὺϲ EG. ὅτϊ οὔτϊ C. τέλοϲ A: ceteri βέλοϲ. κατακαίριον ADHL Schol. Λ 451: ceteri κατὰ καίριον. ἦλθε D. — 441 ἆ δεῖλ' H. ὦ δεῖλ' L. — 442 μὲν ἔμ' ACGHLS Lips. Townl. Mosc. 2. 3. vulgo μέν ῥ' ἔμ' cum DE. τρώεϲϲι L. — 443 ἐγὼν EG. — 444 ἤματι D. ἔϲεϲθαι EGL 1. man. δ' omitt. L. δαμέντι DG Lips. δαμέντε L. — 445 ἀίδῃ L. — 446 ὁ μὲν C. αὖθιϲ C Schol. Π 697. — 448 ἔλαϲϲε ACGH. ἔλαϲε E. — 449 δούπηϲε G 1. man. ὁ δ' D. ὅδ' CGHL. — 450 ϲῶκ' L. — 452 ἆ D. δεῖλ' CHL. δειλὲ E bis. δύϲμοροϲ, οὐδ' ἄρα τῷγε πατὴρ Plutarchus Consol. ad Apoll. 30.

---

A. c. 437 Zenodotus χρόα: χροὸϲ Aristarchus. — 439 βέλοϲ Zenodotus. ἀρίϲταρχοϲ τέλοϲ Didymus. αἱ Ἀριϲτάρχου οὕτωϲ τέλοϲ καὶ ϲχεδὸν ἅπαϲαι Schol. A. κατὰ καίριον Aristarchus cum Zenodoto. — 441 δείλ': δειλέ· οὕτωϲ δὲ καὶ Ἀρίϲταρχοϲ ἔγραφεν ἐκ πλήρουϲ, ὡϲ Δίδυμοϲ μαρτυρεῖ Nicanor. περιϲπᾷ οὖν τὸ ἆ δεῖλε. ἐν δὲ τῇ Ὁμηρικῇ προϲῳδίᾳ . . . . . . . Schol. ap. Cram. An. Par. III, 177, 1. — 442 μὲν ἔμ': de productione brevis syllabae solita in semiternaria dixi in Annal. Gymn. Austr. 1871, pg. 502 sqq. conf. H 77, Υ 243, φ 32. — 446 φύγαδε Herodianus. — 450 ἐκ πλήρουϲ ἀρίϲταρχοϲ ὦ ϲῶκε (Cod. ὡϲ ὦκε) Didymus. — 451 Aristarchus τέλοϲ: βέλοϲ Zenodotus, conf. 439. — 452 δείλ': δειλέ Aristarchus, ut 441.

ὅϲϲε καθαιρήϲουϲι θανόντί περ, ἀλλ' οἰωνοὶ
ὠμηϲταὶ ἐρύουϲι περὶ πτερὰ πυκνὰ βαλόντεϲ.
αὐτὰρ ἔμ', εἴ κε θάνω, κτεριοῦϲί γε δῖοι Ἀχαιοί.
ὣϲ εἰπὼν Ϲώκοιο δαΐφρονοϲ ὄβριμον ἔγχοϲ
ἔξω τε χροὸϲ ἕλκε καὶ ἀϲπίδοϲ ὀμφαλοέϲϲηϲ·
αἷμα δέ οἱ ϲπαϲθέντοϲ ἀνέϲϲυτο, κῆδε δὲ θυμόν.
Τρῶεϲ δὲ μεγάθυμοι ὅπωϲ ἴδον αἷμ' Ὀδυϲῆοϲ,
κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῷ πάντεϲ ἔβηϲαν.
αὐτὰρ ὅ γ' ἐξοπίϲω ἀνεχάζετο, αὖε δ' ἑταίρουϲ.
τρὶϲ μὲν ἔπειτ' ἤυϲεν, ὅϲον κεφαλὴ χάδε φωτόϲ,
τρὶϲ δ' ἄιεν ἰάχοντοϲ ἀρηίφιλοϲ Μενέλαοϲ.
αἶψα δ' ἄρ' Αἴαντα προϲεφώνεεν ἐγγὺϲ ἐόντα·
Αἶαν διογενὲϲ Τελαμώνιε, κοίρανε λαῶν,
ἀμφί μ' Ὀδυϲϲῆοϲ ταλαϲίφρονοϲ ἵκετ' ἀυτή,
τῷ ἰκέλη, ὡϲ εἴ ἑ βιῴατο μοῦνον ἐόντα
Τρῶεϲ, ἀποτμήξαντεϲ ἐνὶ κρατερῇ ὑϲμίνῃ.
ἀλλ' ἴομεν καθ' ὅμιλον· ἀλεξέμεναι γὰρ ἄμεινον.
δείδω μή τι πάθῃϲιν ἐνὶ Τρώεϲϲι μονωθείϲ,
ἐϲθλὸϲ ἐών, μεγάλη δὲ ποθὴ Δαναοῖϲι γένηται.

---

V. l. 453 θανόντί περ A. — 454 ἐρύουϲι ACDEH 1. man. L. ἐρύουϲιν Et. Mg. 822, 11: ἐρύϲουϲι GH ex corr. S Cant. Barocc. Mor. Harl. πυκνὰ: μακρὰ H. — 455 ἔμ' εἴ κε θάνω: ἐπεί κε θάνω Eust. cum libris. κτεριοῦϲί με libri cum Bachm. Anecd II, 268, 18. — 456 ὡϲ A. ὄμβριμον CH. — 457 ἔξω τ' ἐκ χροὸϲ C. ἔξω δ' ἐκ Ven. B. ἕλκε L: εἷλκε ACDGHS. εἷλκεν E. — 459 τρῷεϲ L. δὲ: δ' αὖ L Harl. Vrat. b. Mosc. 3. conf. Ε 27, Ν 737, ο 229. ὅπωϲ ἴδον ADG Mor. et pro var. lect. Vrat. b. ὅταν ἴδον Barocc. ἐπεὶ ἴδον CEHLS. γρ. καὶ ἐπεὶ ἴδον A. ὀδυϲϲῆοϲ DG. — 462 ὅϲϲον G. — 463 ἀρηΐφιλοϲ A. — 464 ἆρ DG. ἀρ A. προϲεφώνει E. — 466 ταλαϲίφρονοϲ A. ἵκετο φωνὴ ACDEGS Cant. Lips. Mor. Barocc. Harl. Townl. Vrat. b. A. Mosc. 2. — 467 ἰκέλη CDGHL. ὡϲ, εἴ A. ὡϲ εἰ CEH Schol. Ξ 1, Π 22. ὡϲ εἰ D Et. Mg. 198, 50. ὣϲ εἴ L. ὡϲεί G Et. Gud. 530, 7. βιώϲατο Vrat. b. Mosc. 3. — 468 τρῷεϲ L. ἐνι AD. — 470 πάθηιϲι A. πάθῃϲι μετὰ GH Barocc. Harl. Townl. Mosc. 3. πάθῃϲιν μετὰ Zonar. Lex. 483. γρ. μετὰ Τρώεϲϲι A. πάθῃϲιν ἐνὶ Τρώεϲϲιν ἢ μετὰ Τρώεϲϲι E 856, 22. ἐνι AD. τρῷεϲϲι L.

---

A. c. 454 ὠμηϲταὶ Aristarchus: ὠμῆϲται Tyrannio. ἐρύουϲι Aristarchus: ἐρυοῦϲι Alexio. hanc futuri formam poëtae solitam indocti librarii mutaverunt in ἐρύϲουϲι, conf. Ξ 422, Ο 351, Ρ 235, 396, Χ 67; τανύω φ 97, 127, 174; ἀνύω Δ 56, Λ 265. — 455 ἀρίϲταρχοϲ αὐτὰρ ἔμ' εἴ κε θάνω Didymus, conf. Herod. ad 454. — 457 ἀρίϲταρχοϲ ἕλκε Didymus. — 458 δέ οἱ Aristarchus: δὲ οὗ Zenodotus — 459 ὅπωϲ ἴδον retinui cum libris optimis, conf. Μ 208, γ 373. magis usitatum est ἐπεὶ ἴδον, conf. Δ 217, Ε 27, Λ 745, Μ 83, Ο 279, Π 427, Ϲ 225, Χ 236, β 155. — 466 ἀρίϲταρχοϲ ἵκετ' ἀϋτὴ Didymus, conf. Schol. V.

ὣc εἰπὼν ὃ μὲν ἦρχ᾽, ὃ δ᾽ ἅμ᾽ ἕcπετο ἰcόθεοc φώc.
εὗρον ἔπειτ᾽ Ὀδυcῆα διίφιλον· ἀμφὶ δ᾽ ἄρ᾽ αὐτὸν
Τρῶεc ἕπον ὡc εἴ τε δαφοινοὶ θῶεc ὄρεcφιν
ἀμφ᾽ ἔλαφον κεραὸν βεβλημένον, ὅν τ᾽ ἔβαλ᾽ ἀνὴρ
ἰῷ ἀπὸ νευρῆc· τὸν μέν τ᾽ ἤλυξε πόδεccι
φεύγων, ὄφρ᾽ αἷμα λιαρὸν καὶ γούνατ᾽ ὀρωρῇ·
αὐτὰρ ἐπεὶ δὴ τόν γε δαμάccεται ὠκὺc ὀιcτόc,
ὠμοφάγοι μιν θῶεc ἐν οὔρεcι δαρδάπτουcιν
ἐν νέμεϊ cκιερῷ· ἐπί τε λῖν ἤγαγε δαίμων
cίντην· θῶεc μέν τε διέτρεcαν, αὐτὰρ ὃ δάπτει.
ὥc ῥα τότ᾽ ἀμφ᾽ Ὀδυcῆα δαΐφρονα ποικιλομήτην
Τρῶεc ἕπον πολλοί τε καὶ ἄλκιμοι, αὐτὰρ ὅ γ᾽ ἥρωc
ἀίccων ᾧ ἔγχει ἀμύνετο νηλεὲc ἦμαρ.
Αἴαc δ᾽ ἐγγύθεν ἦλθε φέρων cάκοc ἠύτε πύργον,
cτῆ δὲ παρέξ· Τρῶεc δὲ διέτρεcαν ἄλλυδιc ἄλλοc.
ἦ τοι τὸν Μενέλαοc ἀρήιοc ἔξαγ᾽ ὁμίλου
χειρὸc ἔχων, εἵωc θεράπων cχεδὸν ἤλαcεν ἵππουc.
Αἴαc δὲ Τρώεccιν ἐπάλμενοc εἷλε Δόρυκλον
Πριαμίδην, νόθον υἱόν, ἔπειτα δὲ Πάνδοκον οὖτα,
οὖτα δὲ Λύcανδρον καὶ Πύραcον ἠδὲ Πυλάρτην.
ὡc δ᾽ ὁπότε πλήθων ποταμὸc πεδίον δὲ κάτειcι

V. L. 472 ὡc A. ὃ μὲν C. ὅδ᾽ CGHL. φῶc D. — 473 εὗρεν H. ὀδυc- ωι cῆα G. διΐ φίλον ACDEGHL. ἄρ DGL. ἀρ A. αὐτὸν A. — 474 τρῷεc L. θῷεc GH. ὄρεcφι D. — 475 ἀμφέλαφον D. ὅν τ᾽: ὅν ῥ᾽ G Barocc. Mor. — 476 ἀπο A. ἀπὸννευρῆc L. πόδεccι ACDEGH. — 477 ὀρώρει D. — 478 ἐπειδὰν L. τόνδε H. πικρὸc ὀϊcτοc D. — 479 θῷεc GH. — 480 post τε add. man. rec. in G οἱ. λὶν L Apoll. Lex. 108, 31. λίν᾽ Et. Mg. 567, 6. λῖν᾽ H. ceteri λῖν cum Schol. Λ 239. Bekk. Anecd. 1231. — 481 θῷεc G. ὃ ACDGHL. — 482 ὣc ῥὰ DL. ὀδυccῆα G. ποικιλομήτιν G. ποικιλομῆτιν L 1. man. ποικιλόμητιν Mosc. 3. — 483 τρῷεc L. ἕπον: ἕποντο DE Flor. Rom. πολλοί τ᾽ ἄλκιμοι H. — 484 ἔγχεϊ ἀμύνεν (sic) D. — 485 ἦλθεν D. πῦργον G. post hunc add. in G Barocc. χάλκεον ἑπταβόειον. ὅ οἱ τύχιοc κάμε τεύχων, qui legitur Η 220. — 486 πὰρ᾽ ἐξ A. τρῷεc L. τρῶεc δ᾽ ἔτρεccαν H. — 488 χειρὸc ἑλὼν Townl — 489 τρῴεccιν L. — 490 οὔτα CDGL. — 491 οὔτα DGL. πύραccον καὶ πυλάρτην G. — 492 πεδίον δὲ D. πεδίον δε A. κάτειcι ACDEGHL.

* ἕπον: libri ἕπονθ᾽. ὡc εἴ τε ADE: ceteri ὡcεί τε. δαφεινοὶ G. θῶεc

A. c. 474 ἕπον dedi ex coniectura, ut 483 libri fere omnes exhibent, nam medio poëta non utitur, conf. H. S. pg. 108. de productione syllabae brevis in caesura semiternaria egi in Annal. Gymn. Austr. 1871, pg. 505. — 480 cκιερῷ: γλαφυρῷ Zenodotus. λῖν Herodianus: Aristarchus λὶν, conf. 239. — 492 κάτειcι: δίηται Zenodotus.

χειμάῤῥους κατ᾽ ὄρεσφιν, ὀπαζόμενος Διὸς ὄμβρῳ,
πολλὰς δὲ δρῦς ἀζαλέας, πολλὰς δέ τε πεύκας
ἐσφέρεται, πολλὸν δέ τ᾽ ἀφυσγετὸν εἰς ἅλα βάλλει,
ὣς ἔφεπε κλονέων πεδίον τότε φαίδιμος Αἴας,
δαΐζων ἵππους τε καὶ ἀνέρας. οὐδέ πω Ἕκτωρ
πεύθετ᾽, ἐπεί ῥα μάχης ἐπ᾽ ἀριστερὰ μάρνατο πάσης,
ὄχθας πὰρ ποταμοῖο Σκαμάνδρου, τῇ ῥα μάλιστα
ἀνδρῶν πῖπτε κάρηνα, βοὴ δ᾽ ἄσβεστος ὀρώρει
Νέστορά τ᾽ ἀμφὶ μέγαν καὶ ἀρήιον Ἰδομενῆα.
Ἕκτωρ μὲν μετὰ τοῖσιν ὁμίλει μέρμερα ῥέζων
ἔγχεΐ θ᾽ ἱπποσύνῃ τε, νέων δ᾽ ἀλάπαζε φάλαγγας·
οὐδ᾽ ἄν πω χάζοντο κελεύθου δῖοι Ἀχαιοί,
εἰ μὴ Ἀλέξανδρος, Ἑλένης πόσις ἠυκόμοιο,
παῦσεν ἀριστεύοντα Μαχάονα, ποιμένα λαῶν,
ἰῷ τριγλώχινι βαλὼν κατὰ δεξιὸν ὦμον,
τῷ ῥα περίδεισαν μένεα πνείοντες Ἀχαιοί,
μή πώς μιν πολέμοιο μετακλινθέντος ἕλοιεν.
αὐτίκα δ᾽ Ἰδομενεὺς προσεφώνεε Νέστορα δῖον·
ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν,
ἄγρει, σῶν ὀχέων ἐπιβήσεο, πὰρ δὲ Μαχάων
βαινέτω, ἐς νῆας δὲ τάχιστ᾽ ἔχε μώνυχας ἵππους·
ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων
ἰούς τ᾽ ἐκτάμνειν ἐπί τ᾽ ἤπια φάρμακα πάσσειν.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε Γερήνιος ἱππότα Νέστωρ.
αὐτίκα δ᾽ ὧν ὀχέων ἐπεβήσετο, πὰρ δὲ Μαχάων

---

V. l. 493 κατόρεσφιν D. ὀπάζων Schol. Δ 487. — 495 δ᾽ ἀφυσγετὸν C. — 496 ὡς A. — 497 πω δ᾽ ἕκτωρ S. — 498 ἐπεὶ ῥὰ DL. ἐπαρϊστερὰ H. — 499 παρ A. καμάνδρου L Harl. ῥὰ DGL. ἔνθα μάλιστα E. — 500 πίπτε ACDEGHL. — 502 μετα A. — 503 ἔγχει θ᾽ H. ἀλάπαζε G post ras. ἀλάπαδνε S. ἀλάπαξε φάλαγγα Et. Gud. 601, 21. — 504 πω: που L. — 506 μαχάονά τε G. — 507 κατα A. — 508 ῥὰ L. περίδεισαν L: ceteri περίδδεισαν. πνέοντες G. — 509 μή πως μιν ACDHL. μετακλινθέντ$\overset{ε}{ο}$ς A. μετακλιθέντος CH Lips. cum aliis. — 512 παρ D. — 513 μενέτω S pro βαινέτω. τάχιστα DG. — 514 ἰατρὸς Plato Symp. 214 B. — 516 ὡς A. — 517 ἐπεβήσατο GH. παρ CD.

---

A. c. 495 Aristarchus ἀφυσγετὸν: ἀφύσγετον Tyrannio. — 503 νέων pars maior grammaticorum: νεῶν Aristarchus, Alexio, Ptolemaeus Ascalonita. — 515 ἀθετεῖται Aristonicus. καὶ Ἀριστοφάνης προηθέτει· Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν Didymus. laudant hunc versum Max. Tyr. Diss. X, 2. Stobaeus Floril. 102, 1. Pseudoplut. 157, 46.

βαῖν', Ἀϲκληπιοῦ υἱόϲ, ἀμύμονοϲ ἰητῆροϲ·
μάϲτιξεν δ' ἵππουϲ, τὼ δ' οὐκ ἀέκοντε πετέϲθην
νῆαϲ ἔπι γλαφυράϲ· τῇ γὰρ φίλον ἔπλετο θυμῷ.
Κεβριόνηϲ δὲ Τρῶαϲ ὀρινομένουϲ ἐνόηϲεν
Ἕκτορι παρβεβαώϲ, καί μιν πρὸϲ μῦθον ἔειπεν·
Ἕκτορ, νῶι μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖϲιν
ἐϲχατιῇ πολέμοιο δυϲηχέοϲ· οἱ δὲ δὴ ἄλλοι
Τρῶεϲ ὀρίνονται ἐπιμίξ, ἵπποι τε καὶ αὐτοί.
Αἴαϲ δὲ κλονέει Τελαμώνιοϲ· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ' ὤμοιϲιν ἔχει ϲάκοϲ. ἀλλὰ καὶ ἡμεῖϲ
κεῖϲ' ἵππουϲ τε καὶ ἅρμ' ἰθύνομεν, ἔνθα μάλιϲτα
ἱππῆεϲ πεζοί τε κακὴν ἔριδα προβαλόντεϲ
ἀλλήλουϲ ὀλέκουϲι, βοὴ δ' ἄϲβεϲτοϲ ὄρωρεν.
ὣϲ ἄρα φωνήϲαϲ ἵμαϲεν καλλίτριχαϲ ἵππουϲ
μάϲτιγι λιγυρῇ· τοὶ δὲ πληγῆϲ ἀίοντεϲ
ῥίμφ' ἔφερον θοὸν ἅρμα μετὰ Τρῶαϲ καὶ Ἀχαιούϲ,
ϲτείβοντεϲ νέκυάϲ τε καὶ ἀϲπίδαϲ· αἵματι δ' ἄξων
νέρθεν ἅπαϲ πεπάλακτο καὶ ἄντυγεϲ αἱ περὶ δίφρον,
ἃϲ ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγεϲ ἔβαλλον
αἵ τ' ἀπ' ἐπιϲϲώτρων. ὃ δὲ ἵετο δῦναι ὅμιλον
ἀνδρόμεον ῥῆξαί τε μετάλμενοϲ· ἐν δὲ κυδοιμὸν
ἧκε κακὸν Δαναοῖϲι, μίνυνθα δὲ χάζετο δουρόϲ.
αὐτὰρ ὃ τῶν ἄλλων ἐπεπωλεῖτο ϲτίχαϲ ἀνδρῶν

V. l. 519 μάϲτιξε E bis G. ἵππουϲ ACD: ἐλάαν E bis GHLS Cant. Barocc. Townl. Vrat. b. Mosc. 2. γρ. ἐλάαν A. ἀέκοντε Lips.: ἄκοντε libri mei. — 520 ἔπι A. ἐπὶ CDEGHL — 521 τρῷαϲ L. ἐνόηϲε C. — — 523 δαναοῖϲι DG. — 525 τρῷεϲ L. ἐπίμιξ D (sic). ἄλλοι C et suprascr. αὐτοί. — 528 κεῖθ' Lips. ἵππουϲ τὲ AH. ἵππουϲ καὶ ἅρμα L. ἅρματ' CGS Cant. Mor. Vrat. A. ἅρματα D. — 530 ὀρώρει D Lips. Townl. ὀρώρει (ε suprascr.) H. — 531 ὥϲ A. ἵμαϲε DEG. — 532 τοὶ: οἱ Schol. Pind. Pyth. III, 48. — 533 τρῷαϲ L. — 535 αἳ περι A. παρὰ δίφρον Mor. — 536 ἂρ DG. ἀρ (δ suprascr.) A. — 537 ἐπιϲώτρων GL. ἐπὶ ϲώτρων D. ὃ δὲ ἵετο C. — 538 ῥῆξαί τε A. ἓν A. — 539 δ' ἐχάζετο H. — 540 ὃ ACDGHL. αὐτὰρ τῶν ἄλλων Plutarchus de Aud. poët. 6.

A. c. 528 κεῖϲ': κεῖθ' Zenodotus. — 537 ἀπ' ἐπιϲϲώτρων: οὕτωϲ κατὰ ϲυναλοιφὴν ἐν ταῖϲ Ἀριϲτάρχου Didymus, i. e. non ἀπὸ πιϲϲώτρων vel ἀπ' ὀπιϲϲώτρων, conf. Schol. A ad Ε 725 ἔν τιϲι γρ. ὀπίϲϲωτρα διὰ τοῦ ο̄, quam lectionem servant A Syr. Υ 394; D Ψ 505; A Ψ 519. „Quaeres: quomodo ergo alii legerunt? Scilicet ἐπιϲϲοότρων“ Heynius, male. — 538 οὕτωϲ ἀρίϲταρχοϲ ῥῆξαι τε διὰ τοῦ τε̄ Didymus. — 539 ἀρίϲταρχοϲ δουρὶ κατὰ δοτικὴν Didymus.

ἔγχεΐ τ' ἄορί τε μεγάλοιςί τε χερμαδίοιςιν,
Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο.
[Ζεὺϲ γάρ οἱ νεμεϲᾶθ', ὅτ' ἀμείνονι φωτὶ μάχοιτο.]
Ζεὺϲ δὲ πατὴρ Αἴανθ' ὑψίζυγοϲ ἐν φόβον ὦρϲε·
ϲτῆ δὲ ταφών, ὄπιθεν δὲ ϲάκοϲ βάλεν ἑπταβόειον,
τρέϲϲε δὲ παπτήναϲ ἐφ' ὁμίλου, θηρὶ ἐοικώϲ,
ἐντροπαλιζόμενοϲ, ὀλίγον γόνυ γουνὸϲ ἀμείβων.
ὡϲ δ' αἴθωνα λέοντα βοῶν ἀπὸ μεϲϲαύλοιο
ἐϲϲεύαντο κύνεϲ τε καὶ ἀνέρεϲ ἀγροιῶται,
οἵ τέ μιν οὐκ εἰῶϲι βοῶν ἐκ πῖαρ ἑλέϲθαι
πάννυχοι ἐγρήϲϲοντεϲ· ὃ δὲ κρειῶν ἐρατίζων
ἰθύει, ἀλλ' οὔ τι πρήϲϲει· θαμέεϲ γὰρ ἄκοντεϲ
ἀντίον ἀίϲϲουϲι θραϲειάων ἀπὸ χειρῶν,
καιόμεναί τε δεταί, τάϲ τε τρεῖ ἐϲϲυμενόϲ περ·
ἠῶθεν δ' ἀπὸ νόϲφιν ἔβη τετιηότι θυμῷ·
ὣϲ Αἴαϲ τότ' ἀπὸ Τρώων τετιημένοϲ ἦτορ
ἤιε, πόλλ' ἀέκων· περὶ γὰρ δίε νηυϲὶν Ἀχαιῶν.
ὡϲ δ' ὅτ' ὄνοϲ παρ' ἄρουραν ἰὼν ἐβιήϲατο παῖδαϲ
νωθήϲ, ᾧ δὴ πολλὰ περὶ ῥόπαλ' ἀμφὶϲ ἐάγῃ,
κείρει τ' εἰϲελθὼν βαθὺ λήιον· οἱ δέ τε παῖδεϲ
τύπτουϲιν ῥοπάλοιϲι· βίη δέ τε νηπίη αὐτῶν·

V. L. 544 omittunt libri: laudant Aristoteles Rhet. II, 9 (νεμέϲαϲχ'). Plutarchus de Aud. Poët. 6, 14 (γάρ τοι νεμεϲᾷ . . . . μάχοιο). Pseudoplut. 137, 35 (de Vita et poësi Homeri II, 132). — 544 αἴαντι EL. ὑψίζυγοϲ A. ἐϲ φόβον G. ὦρϲε ACEGH. — 545 ὄπιϲθεν G. ὄπιϲθε E. ϲάκοϲ θέτο L. hunc versum omitt. H. — 546 τρέϲε G. — 548 ἄπο A. μεϲαύλοιο DG Apollon. Lex. 13, 27. — 549 ἐϲϲεύοντο ACDEGHLS. κῦνεϲ GH. τὲ A. — 550 οἵ τέ μιν ACEH. οἰτέ μιν D. ceteri οἵτε μιν. πίαρ DG. — 551 παννύχιοι L. ἐγρήϲοντεϲ DL. ὃ δὲ C. — 552 πρήϲει D. πράϲϲῃ G. — 553 ἀντίον CDGL Mor. Harl. Vrat. b. ἀντίοι AEHS, conf. P 662. — 555 ἀπὸ νόϲφιν CDEL. ἀπὸ νόϲφι G. vulgo ἀπονόϲφι. — 556 ώϲ A. τρῴων L. — 557 ἀἔκων A. πέρι L. δῖεν G. — 558 ὥϲ δ' G. — 559 νωθεῖϲ G. πέρι G. — 560 βαθυλήϊον D. — 561 τύπτουϲι DEG. βίῃ δέ τε νηπίῃ GH.

A. c. 546 ἀριϲτοφάνηϲ δι' ὅμιλον Didymus. — 548—557 Ζηνόδοτοϲ ἀθετεῖ Aristonicus. — 549 οὕτωϲ διά τοῦ ō ἐϲϲεύοντο Didymus, haud dubie falsus, nam Aristarchum fugere non potuit, in comparatione imperfecto locum non esse, sed aoristo. ad similem locum O 272, ubi libri mei omnes ἐϲϲεύοντο exhibent, idem Didymus adnotavit ἀρίϲταρχοϲ ἐϲϲεύαντο διὰ τοῦ ᾱ καὶ ἅπαϲαι, quem secutus et hoc loco ἐϲϲεύαντο scripsi, quod recentiores editores auctore G. Hermanno Opusc. II, 49 receperunt. — 551 κρειῶν Herodianus. — 553 ἀρίϲταρχοϲ διὰ τοῦ ν ἀντίον Didymus. — 555 ἀπὸ νόϲφιν, conf. H. U. 88.

ϲπουδῇ τ᾽ ἐξήλαϲϲαν, ἐπεί τ᾽ ἐκορέϲϲατο φορβῆϲ·
ὢϲ τότ᾽ ἔπειτ᾽ Αἴαντα μέγαν, Τελαμώνιον υἱόν,
Τρῶεϲ ὑπέρθυμοι πολυηγερέεϲ τ᾽ ἐπίκουροι
νύϲϲοντεϲ ξυϲτοῖϲι μέϲον ϲάκοϲ αἰὲν ἕποντο.
Αἴαϲ δ᾽ ἄλλοτε μὲν μνηϲάϲκετο θούριδοϲ ἀλκῆϲ
αὖτιϲ ὑποϲτρεφθείϲ, καὶ ἐρητύϲαϲκε φάλαγγαϲ
Τρώων ἱπποδάμων· ὁτὲ δὲ τρωπάϲκετο φεύγειν.
πάνταϲ δὲ προέεργε θοὰϲ ἐπὶ νῆαϲ ὁδεύειν,
αὐτὸϲ δὲ Τρώων καὶ Ἀχαιῶν θῦνε μεϲηγὺ
ἱϲτάμενοϲ· τὰ δὲ δοῦρα θραϲειάων ἀπὸ χειρῶν
ἄλλα μὲν ἐν ϲάκεϊ μεγάλῳ πάγεν ὄρμενα πρόϲϲω,
πολλὰ δὲ καὶ μεϲϲηγύ, πάροϲ χρόα λευκὸν ἐπαυρεῖν,
ἐν γαίῃ ἵϲταντο, λιλαιόμενα χροὸϲ ἆϲαι.
τὸν δ᾽ ὡϲ οὖν ἐνόηϲ᾽ Εὐαίμονοϲ ἀγλαὸϲ υἱὸϲ
Εὐρύπυλοϲ πυκινοῖϲι βιαζόμενον βελέεϲϲι,
ϲτῆ ῥα παρ᾽ αὐτὸν ἰών, καὶ ἀκόντιϲε δουρὶ φαεινῷ,
καὶ βάλε Φαυϲιάδην Ἀπιϲάονα, ποιμένα λαῶν,
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ᾽ ὑπὸ γούνατ᾽ ἔλυϲεν.
Εὐρύπυλοϲ δ᾽ ἐπόρουϲε καὶ αἴνυτο τεύχε᾽ ἀπ᾽ ὤμων.
τὸν δ᾽ ὡϲ οὖν ἐνόηϲεν Ἀλέξανδροϲ θεοειδὴϲ
τεύχε᾽ ἀπαινύμενον Ἀπιϲάονοϲ, αὐτίκα τόξον
ἕλκετ᾽ ἐπ᾽ Εὐρυπύλῳ, καί μιν βάλε μηρὸν ὀιϲτῷ

---

V. L. 562 ϲπουδῇ τ᾽ ACD(ϲπουδὴ)EGH et Heynii libri. ϲπουδῇ δ᾽ L, ita Dindorf. Spitzner. ἐξήλαϲαν E. ἐξέλαϲϲαν G. ἐξήλαϲϲε D. ἐπί τε κορέϲϲατο D. ἐκορέϲατο E. — 563 ὡϲ A. — 564 τρῷεϲ L. πολυηγερέεϲ: τηλεκλειτοί A Ambr. DH. τηλεκλητοί GLS Cant. Mor. Townl. man. rec. τηλεκλείτοί (η superscr.) C, conf. Z 111. — 565 ξΰϲτοῖϲϊν H. ξυϲτοῖϲ μέϲϲον L. — 567 αὖθιϲ CL Lips. ὑποϲτραφεὶϲ G. — 568 τρῴων L. ὅτε L. ὅτὲ C et D ex corr. man. rec., uterque ὅτε 1. man. φεύγειν ACDGLS. φεύγειν (ων superscr.) H. φεύγειν ἢ φεύγων E. φεύγων Townl. — 569 ἐπι A. — 570 τρῴων L. θύνε DH. — 571 ἀπο A. — 572 ὅρμενα CDGH. — 573 πολλά δε D. μεϲηγὺ CD. χρόα καλὸν Mosc. 3. Rhet. Gr. III, 246, 11, conf. O 316. — 575 ἐνόηϲεν CDHL. εὐδαίμονοϲ Lips. — 576 πυκνοῖϲι Cant. βελέεϲϲι ADGH. — 577 ῥὰ DGL. — 578 φαϲιάδην G Barocc. Townl. — 579 ὕπο AD. — 583 ἕλκετ᾽ AGLS Cant. Vrat. A. εἷλκε τ᾽ Vrat. b. Mosc. 3. εἷλκεν CDH. ἐν ἄλλῳ εἷλκεν ἐπευρυπύλωι A.

---

A. c. 562 ἐκορέϲϲατο Schol. V. — 564 ἀρίϲταρχοϲ πολυηγενέεϲ (sic) τ᾽ ἐπίκουροι Didymus. recte Schol. V πολυηγερέεϲ, ἐκ πολλῶν ἀγερθέντεϲ. — 568 φεύγειν, conf. M 32 ποταμοὺϲ ἔτρεψε νέεϲθαι. δ 260 κραδίη τέτραπτο νέεϲθαι. — 583 ἕλκετ᾽, conf. A 194, 210 et τόξα τιταίνεϲθαι E 97, Λ 370, φ 259.

δεξιόν· ἐκλάϲθη δὲ δόναξ, ἐβάρυνε δὲ μηρόν.
ἂψ δ' ἑτάρων εἰϲ ἔθνοϲ ἐχάζετο κῆρ' ἀλεείνων,
ἤυϲεν δὲ διαπρύϲιον Δαναοῖϲι γεγωνώϲ·
ὦ φίλοι, Ἀργείων ἡγήτορεϲ ἠδὲ μέδοντεϲ,
ϲτῆτ' ἐλελιχθέντεϲ καὶ ἀμύνετε νηλεὲϲ ἦμαρ
Αἴανθ', ὃϲ βελέεϲϲι βιάζεται· οὐδέ ἕ φημι
φεύξεϲθ' ἐκ πολέμοιο δυϲηχέοϲ. ἀλλὰ μάλ' ἄντην
ἵϲταϲθ' ἀμφ' Αἴαντα μέγαν, Τελαμώνιον υἱόν.
ὣϲ ἔφατ' Εὐρύπυλοϲ βεβλημένοϲ· οἳ δὲ παρ' αὐτὸν
πληϲίοι ἔϲτηϲαν, ϲάκε' ὤμοιϲι κλίναντεϲ,
δούρατ' ἀναϲχόμενοι. τῶν δ' ἀντίοϲ ἤλυθεν Αἴαϲ,
ϲτῆ δὲ μεταϲτρεφθείϲ, ἐπεὶ ἵκετο ἔθνοϲ ἑταίρων.
ὣϲ οἳ μὲν μάρναντο δέμαϲ πυρὸϲ αἰθομένοιο·
Νέϲτορα δ' ἐκ πολέμοιο φέρον Νηλήιαι ἵπποι
ἱδρῶϲαι, ἦγον δὲ Μαχάονα, ποιμένα λαῶν.
τὸν δὲ ἰδὼν ἐνόηϲε ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ·
ἑϲτήκει γὰρ ἐπὶ πρυμνῇ μεγακήτεϊ νηί,
εἰϲορόων πόνον αἰπὺν ἰῶκά τε δακρυόεϲϲαν.
αἶψα δ' ἑταῖρον ἑὸν Πατροκλῆα προϲέειπε
φθεγξάμενοϲ παρὰ νηόϲ· ὃ δὲ κλιϲίηθεν ἀκούϲαϲ
ἔκμολεν ἶϲοϲ Ἄρηι, κακοῦ δ' ἄρα οἱ πέλεν ἀρχή.
τὸν πρότεροϲ προϲέειπε Μενοιτίου ἄλκιμοϲ υἱόϲ·
τίπτέ με κικλήϲκειϲ Ἀχιλεῦ; τί δέ ϲε χρεὼ ἐμεῖο;
τὸν δ' ἀπαμειβόμενοϲ προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ·

V. l. 586 ἤϋϲε G et 2. man. δὴ pro δὲ. — 588 ἀμύνατε Harl. ἦμαρ D. — 589 Αἴαντι E. αἴανθ' (τι superscr.) A, conf. 544. οὐδέ ἑ φημὶ ACDEGHL. — 590 φεύξαϲθ' Lips. Mosc. 3. φεύξεϲθαι L. — 592 ὡϲ A. οἳ δὲ C. αὐτῶι D. — 593 ἑϲτηϲαν A. ἔϲτηϲαν CDEL. ἔϲταϲαν (η superscr.) G. ἔϲταϲαν Townl. Mosc. 3. Flor. ἕϲταϲαν H. ᾤμοιϲι C. — 594 ἀντίοϲ libri mei. ἐν ἄλλῳ τῶν δὲ ϲχεδὸν ἤλυθεν αἴαϲ A. ἦλθεν C 1. man. — 595 μεταϲτραφθεὶϲ G. — 596 οἳ μὲν C. μάρνατο H. — 597 φέρων L. ΝΗΛΗΪΟΙ Ambros. νηλήϊοι L Townl. 1. man. — 600 εἱϲτήκει ACDEGHLS. πρύμνῃ libri. — 601 ἰῶκα τὲ L. — 602 προϲέειπε ACE Rhet. Gr. III, 203, 17. — 604 ἶϲοϲ D. ΑΡΧΗΙ Ambros. — 606 τίπτέ με ACHL. ἀχιλλεῦ DEG. πῆ δέ ϲε χρειὼ ἐμεῖο G. τί δέ τε E. τί δὲ χρειὼ L. ЄΜΟΙΟ Ambros. — 607 ἀχϊλεύϲ C. τὸν δ' ἠμείβετ' ἔπειτα ποδάρκηϲ δῖοϲ ἀχιλλεύϲ G Mor. Barocc.

A. c. 589 Αἴανθ' ὃϲ: Αἴαντοϲ Zenodotus. — 597 Νηλήιαι: alii Νηλήιον teste Schol. V. — 600 ἀρίϲταρχοϲ ἑϲτήκει Didymus. — 601 ὅτι τινὲϲ γράφουϲιν ἰῶ, εἶτα καταδακρυόεϲϲαν Aristonicus.

διε Μενοιτιάδη, τῷ ἐμῷ κεχαριςμένε θυμῷ,
νῦν ὀίω περὶ γούνατ' ἐμὰ ςτήςεςθαι Ἀχαιοὺς
λιςςομένους· χρειὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός.
ἀλλ' ἴθι νῦν Πάτροκλε διίφιλε Νέςτορ' ἔρειο,
ὅν τινα τοῦτον ἄγει βεβλημένον ἐκ πολέμοιο.
ἦ τοι μὲν τά γ' ὄπιςθε Μαχάονι πάντα ἔοικε
τῷ Ἀςκληπιάδῃ, ἀτὰρ οὐκ ἴδον ὄμματα φωτός·
ἵπποι γάρ με παρήιξαν πρόςςω μεμαυῖαι.
ὣς φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ,
βῆ δὲ θέειν παρά τε κλιςίας καὶ νῆας Ἀχαιῶν.
οἳ δ' ὅτε δὴ κλιςίην Νηληιάδεω ἀφίκοντο,
αὐτοὶ μέν ῥ' ἀπέβηςαν ἐπὶ χθόνα πουλυβότειραν,
ἵππους δ' Εὐρυμέδων θεράπων λύε τοῖο γέροντος
ἐξ ὀχέων· τοὶ δ' ἱδρῶ ἀπεψύχοντο χιτώνων
ςτάντε ποτὶ πνοιὴν παρὰ θῖν' ἁλός· αὐτὰρ ἔπειτα
ἐς κλιςίην ἐλθόντες ἐπὶ κλιςμοῖςι καθῖζον.
τοῖςι δὲ τεῦχε κυκειῶ ἐυπλόκαμος Ἑκαμήδη,
τὴν ἄρετ' ἐκ Τενέδοιο γέρων, ὅτε πέρςεν Ἀχιλλεύς,
θυγατέρ' Ἀρςινόου μεγαλήτορος, ἥν οἱ Ἀχαιοὶ
ἔξελον, οὕνεκα βουλῇ ἀριςτεύεςκεν ἁπάντων.
ἥ ςφωιν πρῶτον μὲν ἐπιπροΐηλε τράπεζαν

V. l. 608 τῷ ἐμῷ GH: τῷ' μῷ CE Plutarchus de Aud. poët. 13. τῶ' μῶ AL. ΤΩΙ ΜΩΙ Ambros. τῶι μῶι D. τὠμῷ S Et. Mg. 657, 26. τῴμῷ Apoll. de Synt. 126, 18. — 609 οἴω CDEL. ΟΙΩΙ Ambros. — 610 ἀνεκτός ADEHL: ἀνεκτή CG Vrat. b. man. sec. — 611 διΐ φίλε ACD GHL. ἔροιο Ammon. de Diff. s. v. ἐρωτᾶν. — 613 ὄπιςθεν G. ἔοικε AC DGH Schol. A 299. — 614 αὐτὰρ H. εἶδον CG. — 615 omitt. Townl. 1. man. παρήϊςαν S. πρόςω DG. — 616 ὡς A. — 617 θέειν: ἐν ἄλλῳ βῆ δ' ἰέναι A. νῆας εἴςας CH Lips. Ven. B. — 618 οἵδ' CGL. ἀλλ' ὅτε H. — 619 μέν ῥ': μὲν E. πολυβότειραν D. — 621 ἐξοχέων D. τοὶ δ' ACD Harl. Mosc. 3. οἳ δ' LS. οἵδ' H. οἱ δ' EG. — 622 ςτᾶν δὲ CH. ποτι D. πνοιῆι C. πνοὴν E. — 623 κάθιζον CDGHL. — 624 κυκεῶ D. ἐϋπλόκαμος A. εὐπλόκαμος EGH. — 625 ὅτε πέρςεν CEL: ὅτ' ἔπερςεν ADGHS Harl. Mosc. 3. — 626 ἣν οἱ G. οἱ omitt. L. οἱ, ἀχαιοὶ A. — 628 ςφωϊν ADH Apoll. Lex. 135, 14. ςφῶϊν CEL Athenaeus XI, 492. ςφῶϊ G.

A. c. 608 τῷ ἐμῷ: τῷ' μῷ, conf. H. U. 287. — 610 ἀνεκτός Herodianus cum Aristarcho, conf. K 118. — 622 οὕτως διὰ τοῦ τέ ςτάν τε Didymus. τε δυϊκῶς Schol. V. lectio Aristarchea erat ςτάν τε, aliorum ςτὰν δὲ, nam si ςτάντε scripsisset δυϊκῶς, non opus erat illud adnotare, quum pluralem ςτάντες versus non admittat. — 625 ὅτε πέρςεν, conf. H. U. 86 sq. — 627 ἥ ςφωϊν Herodianus.

καλὴν κυανόπεζαν ἐύξοον, αὐτὰρ ἐπ' αὐτῆς
χάλκειον κάνεον, ἐπὶ δὲ κρόμυον, ποτῷ ὄψον,
ἠδὲ μέλι χλωρόν, παρὰ δ' ἀλφίτου ἱεροῦ ἀκτήν,
πὰρ δὲ δέπας περικαλλές, ὃ οἴκοθεν ἦγ' ὁ γεραιός,
χρυσείοις ἥλοισι πεπαρμένον· οὔατα δ' αὐτοῦ
τέσσαρ' ἔσαν, δοιαὶ δὲ πελειάδες ἀμφὶς ἕκαστον
χρύσειαι νεμέθοντο, δύω δ' ὑπὸ πυθμένες ἦσαν.
ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης
πλεῖον ἐόν, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν.
ἐν τῷ ῥά σφι κύκησε γυνὴ εἰκυῖα θεῇσιν
οἴνῳ Πραμνείῳ, ἐπὶ δ' αἴγειον κνῆ τυρὸν
κνήστι χαλκείῃ, ἐπὶ δ' ἄλφιτα λευκὰ πάλυνε,
πινέμεναι δὲ κέλευσεν, ἐπεί ῥ' ὥπλισσε κυκειῶ.
τὼ δ' ἐπεὶ οὖν πίνοντ' ἀφέτην πολυκαγκέα δίψαν,
μύθοισιν τέρποντο πρὸς ἀλλήλους ἐνέποντες.
Πάτροκλος δὲ θύρῃσιν ἐφίστατο, ἰσόθεος φώς.
τὸν δὲ ἰδὼν ὁ γεραιὸς ἀπὸ θρόνου ὦρτο φαεινοῦ,

---

V. L. 629 κυανόπεζαν A. ἐπαυτῆς A. αὐτῆς CDHL Lips. Athen. XI, 492. αὐτῇ EGS. γρ. ἐπ' αὐτῇ A. — 630 χάλκεον D. κυάνεον G. ἐπι D. — 631 ἠδὲ: πὰρ δὲ Apollon. Lex. 168, 12. οἱ μὲν ἀλφίτου ἱεροῦ γράφουσιν ἀκτήν, οἱ δὲ ἱερὸν ἀκτήν E 868, 29. — 632 παρ CD. γηραιὸς G. — 634 πελίαδες D. ἀμφὶ CS. — 635 ὑποπυθμένες CD 1. man. H Athenaeus XI, 492. ὕπο πυθμένες Athen. XI, 491. ceteri ὑπὸ πυθμένες cum Apoll. Lex. 161, 1. — 640 κνήστι ACDE Athen. XI, 492. Suidas II, 1, 302, 17; 304, 20. Apoll. Lex. 101, 5. Et. Gud. 330, 33. Zonar. Lex. 1224. κνῆστι L. κνήστῃ G. κνήστεϊ H. κνήστει (στι superscr.) S. κνήστει Phot. Lex. 227. Suidas II, 1, 1043, 5. κνήστεϊ Et. Mg. 522, 16. χαλκείῳ Et. Gud. 330, 33. ἐπι DH. λευκὰ πάλυνε CEGH Athenaeus XI, 492. λευκὰ πάλυνεν DL. γρ. λευκὰ πάλυνε A. λευκ" ἐπάλυνε A. hunc versum laudat Plato in Ione 538 C κνήστι χαλκείῃ, παρὰ δὲ κρόμυον ποτῷ ὄψον. — 641 δὲ κέλευσεν L: vulgo δ' ἐκέλευσεν. δ' ἐκέλευεν H Athenaeus l. l. ὥπλισε GES. κυκεῶ G. — 643 μύθοισι DGL. — 645 τόνδε G. ἄπο H.

---

A. c. 632 διχῶς ἀρίσταρχος ἦγ' (Cod. ειγ') ὁ γεραιός, καὶ εἶχ' ὁ γεραιός Didymus. — 635 ὑπὸ πυθμένες Alexio cum Aristarcho: alii ὑποπυθμένες, quam scripturam defendit Athenaeus XI, 492 contra Dionysium Thracem, quem κατὰ διαίρεσιν ἀναγνῶναι tradidit, conf. Eust. 869, 5 sqq. — 636 ἄλλος Ptolem. Ascalonita et Herodianus cum Aristarcho: alii ἄλλος vel ὦλλος, rursus alii ἀλλ' ὃς (de Machaone), quibus adversatur Athenaeus XI, 493. — 639 κνῆ: τινὲς τῶν Ἀρισταρχείων ἐκδόσεων „κνέε τυρόν" λέγουσι κατὰ διάλυσιν Eust. 872, 18. — 640 κνήστι: τινὲς δὲ καὶ διὰ διφθόγγου γράφουσιν ἐκ τοῦ κνῆστις κνήστεως Ἀττικῶς Eust. 872, 1, male, conf. similes formas dativi Ζ 335, Σ 407, Ψ 315, 316, 318, 560, Ω 18, γ 381, λ 191, ν 299. — 641 κυκειῶ Herodianus

ἐϲ δ' ἄγε χειρὸϲ ἑλών, κατὰ δ' ἑδριάαϲθαι ἄνωγε.
Πάτροκλοϲ δ' ἑτέρωθεν ἀναίνετο εἶπέ τε μῦθον·
οὐχ ἕδοϲ ἐϲτὶ γεραιὲ διοτρεφέϲ, οὐδέ με πείϲειϲ.
αἰδοῖοϲ νεμεϲητὸϲ ὅ με προέηκε πυθέϲθαι,
ὅν τινα τοῦτον ἄγειϲ βεβλημένον· ἀλλὰ καὶ αὐτὸϲ
γιγνώϲκω, ὁρόω δὲ Μαχάονα, ποιμένα λαῶν.
νῦν δὲ ἔποϲ ἐρέων πάλιν ἄγγελοϲ εἶμ' Ἀχιλῆι.
εὖ δὲ ϲὺ οἶϲθα γεραιὲ διοτρεφέϲ, οἷοϲ ἐκεῖνοϲ
δεινὸϲ ἀνήρ· τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο.
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιοϲ ἱππότα Νέϲτωρ·
τίπτέ τ' ἄρ' ὧδ' Ἀχιλεὺϲ ὀλοφύρεται υἷαϲ Ἀχαιῶν,
ὅϲϲοι δὴ βέλεϲιν βεβλήαται; οὐδέ τι οἶδε
πένθεοϲ, ὅϲϲον ὄρωρε κατὰ ϲτρατόν· οἱ γὰρ ἄριϲτοι
ἐν νηυϲὶν κέαται βεβλημένοι οὐτάμενοί τε.
βέβληται μὲν ὁ Τυδείδηϲ, κρατερὸϲ Διομήδηϲ,
οὔταϲται δ' Ὀδυϲεὺϲ δουρὶ κλυτὸϲ ἠδ' Ἀγαμέμνων·
[βέβληται δὲ καὶ Εὐρύπυλοϲ κατὰ μηρὸν ὀιϲτῷ·]
τοῦτον δ' ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πολέμοιο
ἰῷ ἀπὸ νευρῆϲ βεβλημένον. αὐτὰρ Ἀχιλλεὺϲ
ἐϲθλὸϲ ἐὼν Δαναῶν οὐ κήδεται οὐδ' ἐλεαίρει.
ἦ μένει εἰϲ ὅ κε δὴ νῆεϲ θοαὶ ἄγχι θαλάϲϲηϲ
Ἀργείων ἀέκητι πυρὸϲ δηίοιο θέρωνται,
αὐτοί τε κτεινώμεθ' ἐπιϲχερώ; οὐ γὰρ ἐμὴ ἲϲ
ἔϲθ' οἵη πάροϲ ἔϲκεν ἐνὶ γναμπτοῖϲι μέλεϲϲιν.
εἴθ' ὧϲ ἡβώοιμι βίη τέ μοι ἔμπεδοϲ εἴη,

V. ι. 646 κατα CDL. ἄνωγε ACE. — 647 εἶπε τὲ L. — 648 διοτροφὲϲ G 1. man. H. πείϲῃϲ Townl. — 649 προέηκε A. — 651 γιγνώϲκω L: γινώϲκω ACDGH. — 652 νῦν δ' GL. ἔποϲ ἐξερέων L. — 653 διοτροφὲϲ G 1. man. H. — 654 τάχά CD. ἀνήρ, οἷοϲ καὶ ἀναίτιον αἰτιάαϲθαι Plutarchus de Adul. et amico 26. — 656 τίπτ' GL, omisso τ'. ἄρ CDGL. ἀρ A. τὰρ H. ὡιδ' D. ἀχιλλεὺϲ EGH. — 657 βέλεϲι D. βελέεϲϲι S. οὐ δέ τι A. οἶδε ACDH. — 658 πένθοϲ D. κατα D. — 659 νηυϲὶ DE. — 661 οὔταται S. ὀδυϲϲεὺϲ DEG. δουρὶ κλυτὸϲ unus A. — 662 omitt. ACDEHL Lips.: habent C in marg. man. rec. D in marg. 3. man. GS et si Heynio fides est habenda omnes libri eius praeter Lips. — 664 ἀχϊλεὺϲ C. — 666 ἦ CGL Townl. ἡ A. εἰϲόκε omnes. — 667 δῄοιο H. δηοῖο Mosc. 3. δηοῖο Lips. — 668 κτεινώμεθα G. ἐπὶ ϲχερῶ C. ἐπιϲχερῷ G. ἐμοὶ ἶϲ G Barocc. Mor. — 669 γναπτοῖϲι G et un. Vrat. μέλεϲϲι D. — 670 ὡϲ A. τέ μοι ADEH Eust. 885, 33, conf. Ψ 629. vulgo δέ μοι ut H 157.

A. c. 650 ἄγειϲ Aristarchus. — 652 πάλιν ἄγγελοϲ Aristarchus, Alexio, Ptolemaeus Ascalonita: alii παλινάγγελοϲ. — 659 οὐτάμενοι Aristarchus: Pamphilus οὐταμένοι.

ὡϲ ὁπότ᾿ Ἠλείοιϲι καὶ ἡμῖν νεῖκοϲ ἐτύχθη
ἀμφὶ βοηλαϲίῃ, ὅτ᾿ ἐγὼ κτάνον Ἰτυμονῆα,
ἐϲθλὸν Ὑπειροχίδην, ὃϲ ἐν Ἤλιδι ναιετάαϲκε,
ῥύϲι᾿ ἐλαυνόμενοϲ. ὃ δ᾿ ἀμύνων ᾗϲι βόεϲϲιν
ἔβλητ᾿ ἐν πρώτοιϲιν ἐμῆϲ ἀπὸ χειρὸϲ ἄκοντι,
κὰδ᾿ δ᾿ ἔπεϲεν, λαοὶ δὲ περίτρεϲαν ἀγροιῶται.
ληίδα δ᾿ ἐκ πεδίου ϲυνελάϲϲαμεν ἤλιθα πολλήν,
πεντήκοντα βοῶν ἀγέλαϲ, τόϲα πώεα οἰῶν,
τόϲϲα ϲυῶν ϲυβόϲια, τόϲ᾿ αἰπόλια πλατέ᾿ αἰγῶν,
ἵππουϲ δὲ ξανθὰϲ ἑκατὸν καὶ πεντήκοντα,
πάϲαϲ θηλείαϲ, πολλῇϲι δὲ πῶλοι ὑπῆϲαν.
καὶ τὰ μὲν ἠλαϲάμεϲθα Πύλον Νηλήιον εἴϲω
ἐννύχιοι προτὶ ἄϲτυ· γεγήθει δὲ φρένα Νηλεύϲ,
οὕνεκά μοι τύχε πολλὰ νέῳ πόλεμον δὲ κιόντι.
κήρυκεϲ δ᾿ ἐλίγαινον ἅμ᾿ ἠοῖ φαινομένηφι
τοὺϲ ἴμεν, οἷϲι χρεῖοϲ ὀφείλετ᾿ ἐν Ἤλιδι δίῃ·
οἳ δὲ ϲυναγρόμενοι Πυλίων ἡγήτορεϲ ἄνδρεϲ
δαίτρευον· πολέϲιν γὰρ Ἐπειοὶ χρεῖοϲ ὄφειλον,
ὡϲ ἡμεῖϲ παῦροι κεκακωμένοι ἐν Πύλῳ ἦμεν.
ἐλθὼν γάρ ῥ᾿ ἐκάκωϲε βίη Ἡρακληείη

V. ι. 672 ἀμφι D. βοηλαϲίηϲ D Vrat. b. A. βοηλαϲίηϲ (αν supra) S. — 673 ὑπεροχίδην C Lips. ναιετάαϲκε ACEGH. — 674 ῥύϲει H. ὅδ᾿ CGHL. οἷϲι Mor. — 675 ἄπο A. ὑπὸ L. — 676 καδδ᾿ ACGHL. καδδέπεϲεν D. ἔπεϲε E. — 677 ϲυνελάϲαμεν DG. — 678 τόϲϲα G. μήλων L et γρ. οἰῶν. — 679 ϲυβόϲια ACEGHS Apoll. Lex. 146, 7. Strabo VIII, 351. Zonar. Lex. 1688. Hesych. IV, 89. ϲυβώϲια D. ϲυβόϲεια L Townl., quod probat Thiersch. Gramm. § 147, 11. conf. ξ 101. — 680 ἵππουϲ τε G. — 681 πολλαῖϲι G. πωλῆιϲι D. ὑπῆϲαν: ὑπῆρχον L. — 182 ὡϲ τὰ E. ἠλαϲάμεθα G. — 683 προτὶ ACDEG. πρὸ τὶ H. ποτὶ LS. γέγηθε DG. — 684 πόλεμον δὲ A. — 685 δὲ λίγαινον DES. φαινομένηφι AD. φαινομένηφι CEGH. — 686 χρέωϲ A. χρέοϲ DEG Mosc. 3. χρε[ ]οϲ C. ὠφείλετ᾿ D Mos. 3. ὠφείλετ᾿ (ο supra) H. — 687 οἳ δὲ C. — 688 πολέϲι EG. πολλεϲὶν C. ὄφειλον ADHL: ὄφελλον CE Barocc. ὄφειλλον G. — 689 ὧϲ DEGHL. — 690 γάρ ῥ᾿ ADE: γὰρ ἐκάκωϲε CGHLS Lips. Cant. Ven. B. Vrat. b. A. Flor. Rom. βίη ἡρακληείη H.

A. c. 672 ἀρίϲταρχοϲ ἑνικῶϲ βοηλαϲίῃ Didymus. — 677 Aristarchus ληῖδα: λήιδα Menecrates. — 686 οὕτωϲ ἀρίϲταρχοϲ χρεῶϲ (sic) Didymus. Ἀριϲτοφάνηϲ δὲ χρεῖοϲ καὶ ὠφείλετο Schol. A. hoc falsum esse nemo non videt, nam χρεῖοϲ ὠφείλετ᾿ versus non minus recusat, quam χρέωϲ ὀφείλετ᾿, quod est in Cod. A. differt scriptura inter χρέωϲ ὠφείλετ᾿ et χρεῖοϲ ὀφείλετ᾿: illud est Aristarchi, hoc Aristophanis. — 688 ὄφειλον: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ ὄφελλον Didymus. — 689 ὡϲ Aristarchus: alii ὥϲ, utrumque Nicanor, sed praefert ὡϲ. Πύλῳ: alii ἐν πόλει ἦμεν teste Schol. D. — 690 γάρ ῥ᾿: γὰρ, conf. Β 39, Ξ 30, Ρ 403, ε 321, φ 32, Annal. Gymn. Austr. 1871, 506.

τῶν προτέρων ἐτέων, κατὰ δ' ἔκταθεν ὅϲϲοι ἄριϲτοι.
δώδεκα γὰρ Νηλῆοϲ ἀμύμονοϲ υἱέεϲ ἦμεν·
τῶν οἶοϲ λιπόμην, οἱ δ' ἄλλοι πάντεϲ ὄλοντο.
ταῦθ' ὑπερηφανέοντεϲ Ἐπειοὶ χαλκοχίτωνεϲ,
ἡμέαϲ ὑβρίζοντεϲ, ἀτάϲθαλα μηχανόωντο.
ἐκ δ' ὁ γέρων ἀγέλην τε βοῶν καὶ πῶυ μέγ' οἰῶν
εἵλετο κρινάμενοϲ τριηκόϲι' ἠδὲ νομῆαϲ.
καὶ γὰρ τῷ χρεῖοϲ μέγ' ὀφείλετ' ἐν Ἤλιδι δίῃ,
τέϲϲαρεϲ ἀθλοφόροι ἵπποι αὐτοῖϲιν ὄχεϲφιν
ἐλθόντεϲ μετ' ἄεθλα. περὶ τρίποδοϲ γὰρ ἔμελλον
θεύϲεϲθαι· τοὺϲ δ' αὖθι ἄναξ ἀνδρῶν Αὐγείαϲ
κάϲχεθε, τὸν δ' ἐλατῆρ' ἀφίει ἀκαχήμενον ἵππων.
τῶν ὁ γέρων ἐπέων κεχολωμένοϲ ἠδὲ καὶ ἔργων
ἐξέλετ' ἄϲπετα πολλά· τὰ δ' ἄλλ' ἐϲ δῆμον ἔδωκε
δαιτρεύειν, μή τίϲ οἱ ἀτεμβόμενοϲ κίοι ἴϲηϲ.
ἡμεῖϲ μὲν τὰ ἕκαϲτα διείπομεν, ἀμφί τε ἄϲτυ
ἔρδομεν ἱρὰ θεοῖϲ· οἳ δὲ τρίτῳ ἤματι πάντεϲ
ἦλθον ὁμῶϲ αὐτοί τε πολεῖϲ καὶ μώνυχεϲ ἵπποι
πανϲυδίῃ· μετὰ δέ ϲφι Μολίονε θωρήϲϲοντο
παῖδ' ἔτ' ἐόντ', οὔ πω μάλα εἰδότε θούριδοϲ ἀλκῆϲ.
ἔϲτι δέ τιϲ Θρυόεϲϲα πόλιϲ, αἰπεῖα κολώνη,
τηλοῦ ἐπ' Ἀλφειῷ, νεάτη Πύλου ἠμαθόεντοϲ·
τὴν ἀμφεϲτρατόωντο διαρραῖϲαι μεμαῶτεϲ.

---

V. l. 691 κατα CD. ἔκταθεν ACDGS. δὲ κτάθεν Harl. ἔκταθεν H. ἔκτανεν L Vrat. A. Rom. ἔκταθεν ἢ ἔκτανεν Eust. 874, 23; 879, 26. ὅϲοι D. — 692 ἀμύμονεϲ (οϲ) L. ἀμύμονεϲ H: ceteri ἀμύμονοϲ cum Cant. Barocc. Mor. Schol. λ 286. Schol. Apoll. Rhod. I, 152. υἶεϲ L Schol. λ 286. ὕεϲ H. — 694 χαλκοχίτωνεϲ A. — 695 ὑμέαϲ G. μηχανόωνται Schol. K 68. — 696 τὲ C. — 697 τριακόϲια G. — 698 τὸ χρεῖοϲ L. γαίῃ L et γρ. δῖῃ. — 700 μετάεθλα D. τρίποδαϲ S. — 702 κάχεϲθε H. ἀφίῃ G. — 704 ἔδωκε ACEGH. — 705 μή τίϲ οἱ AE: ceteri μήτιϲ οἱ. — 706 ἀμφὶ δὲ A Harl. ἀμφι δὲ D. ἀμφί τ' G. γρ. ἀμφί τε ἄϲτυ A. — 707 ἔρδομεν C 2. man. E bis. ἱερὰ EGH. θεοῖϲι D. οἳ δὲ C. — 709 παϲϲυδίῃ EGL: ceteri πανϲυδίῃ cum Cant. Lips. μετα D. μολίωνε CD. μολίον' ἐθωρήϲϲοντο Lips. — 710 ὄντ' L. — 711 ἔϲτι δέ τι(ϲ) θρυόεϲϲα D. — 712 ἐπαλφειῶι D. ἀλφειοῦ G Barocc. Schol. ι 153. νεάτῃ H. πυμάτη Strabo VIII, 349. — 713 ἀμφ' ἐϲτρατόωντο AH Vrat. b. διαρρέϲαι L.

---

A. c. 694 Ἐπειοί: ὅτε ἔν τιϲι γράφεται Ἀχαιοί Aristonicus. — 699 ὑποπτεύεται ὡϲ νόθον Schol. BLV ad Θ 185. — 705 μετάκειται ἐκ τῶν ἐν Ὀδυϲϲείᾳ (ι 42) λεγομένων Aristonicus. Ζηνόδοτοϲ οὐδὲ ἔγραφε Didymus. — 709 πανϲυδίῃ Aristarchus, conf. H. T. 394.

ἀλλ' ὅτε πᾶν πεδίον μετεκίαθον, ἄμμι δ' Ἀθήνη
ἄγγελος ἦλθε θέουϲ' ἀπ' Ὀλύμπου θωρήϲϲεϲθαι
ἔννυχοϲ, οὐδ' ἀέκοντα Πύλον κάτα λαὸν ἄγειρεν,
ἀλλὰ μάλ' ἐϲϲυμένουϲ πολεμίζειν. οὐδέ με Νηλεὺϲ
εἴα θωρήϲϲεϲθαι, ἀπέκρυψεν δέ μοι ἵππουϲ·
οὐ γάρ πώ τί μ' ἔφη ἴδμεν πολεμήια ἔργα.
ἀλλὰ καὶ ὧϲ ἱππεῦϲι μετέπρεπον ἡμετέροιϲι,
καὶ πεζόϲ περ ἐών, ἐπεὶ ὧϲ ἄγε νεῖκοϲ Ἀθήνη.
ἔϲτι δέ τιϲ ποταμὸϲ Μινυήιοϲ εἰϲ ἅλα βάλλων
ἐγγύθεν Ἀρήνηϲ, ὅθι μείναμεν ἠῶ δῖαν
ἱππῆεϲ Πυλίων, τὰ δ' ἐπέρρεον ἔθνεα πεζῶν.
ἔνθεν πανϲυδίῃ ϲὺν τεύχεϲι θωρηχθέντεϲ
ἔνδιοι ἱκόμεϲθ' ἱερὸν ῥόον Ἀλφειοῖο.
ἔνθα Διὶ ῥέξαντεϲ ὑπερμενεῖ ἱερὰ καλά,
ταῦρον δ' Ἀλφειῷ, ταῦρον δὲ Ποϲειδάωνι,
αὐτὰρ Ἀθηναίῃ γλαυκώπιδι βοῦν ἀγελαίην,
δόρπον ἔπειθ' ἑλόμεϲθα κατὰ ϲτρατὸν ἐν τελέεϲϲι,
καὶ κατεκοιμήθημεν ἐν ἔντεϲιν οἷϲιν ἕκαϲτοϲ
ἀμφὶ ῥοὰϲ ποταμοῖο. ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
ἀμφίϲταντο δὴ ἄϲτυ διαρραῖϲαι μεμαῶτεϲ.
ἀλλά ϲφι προπάροιθε φάνη μέγα ἔργον ἄρηοϲ·
εὖτε γὰρ ἠέλιοϲ φαέθων ὑπερέϲχεθε γαίηϲ,
ϲυμφερόμεϲθα μάχῃ Διί τ' εὐχόμενοι καὶ Ἀθήνῃ.

---

V. l. 715 ἀπολύμπου CD. θωρήϲεϲθαι GL 1. man. — 716 ἀέκοντα A. κατα DH. κατὰ GL. — 717 ἐϲϲυμένωϲ Cant. — 718 θωρήϲεϲθαι G. ἀπέκρυψε GL. — 719 πω CH. τι E. — 720 ὡϲ AD Io. Alexandr. 31, 34: ceteri ὧϲ. ἡμετέροιϲι ACDGH. — 721 ὡϲ Cram. Epim. 449, 15. — 722 μινύνιοϲ G. — 724 ἐπέρρεον ADGL Mor. Barocc. ἐπέρρεεν CE bis HS Rhet. Gr. III, 232, 20. ἔθνεα πολλὰ Mor. Barocc. Cant. — 725 ἐνθάδε Mor. Barocc. ἔνθα γε παϲϲυδίη G. παϲϲυδίῃ EL. — 726 ἔνδειοι E. εὔδειοι L. — 726, 727 ἐνδΐοι ῥέξαντεϲ ὑπερμένεϊ ἱερὰ καλὰ G. — 727 ὑπερμένε D. ὑπερμενέ' L. — 728 ταῦρόν τ' Townl. ποϲιδάωνι A. ποϲειδάονι G. — 729 ἀγελείην G Mor. Barocc. ἀγελείῃ Townl. — 730 ειλόμεϲθα D. ἑλόμεθα G. κατα D. τελέεϲϲι ACDEGH. — 731 ἐπ' ἔντεϲιν L. — 732 ἀμφι
ἐ
D. — 733 δὴ A. δι' ἄϲτυ L Townl. Vrat. b. διαρραῖϲαι AD Harl. διαπραθέειν CEGHLS. γρ. διαπραθέειν A. — 734 ϲφι L: ϲφιν ACDEGH. προπάροιθε, φάνη C. — 735 ὑπερέϲχε G. — 736 ἐμφερόμεϲθα Vrat. A. μάχην L.

---

A. c. 714 ἀλλ' ὅτε: ἄλλο τε Bekker. (2) ex coniectura. — 720 ὧϲ Herodianus cum Aristarcho et Tyrannione, conf. A 116, Γ 159, H. T. 380. — 730 δόρπον: δεῖπνον Zenodotus, conf. Λ 86. — 733 διαῤῥαῖϲαι reposui ex libris optimis, conf. 713.

ἀλλ᾽ ὅτε δὴ Πυλίων καὶ Ἐπειῶν ἔπλετο νεῖκος,
πρῶτος ἐγὼν ἕλον ἄνδρα, κόμισσα δὲ μώνυχας ἵππους,
Μούλιον αἰχμητήν· γαμβρὸς δ᾽ ἦν Αὐγείαο,
πρεσβυτάτην δὲ θύγατρ᾽ εἶχε ξανθὴν Ἀγαμήδην,
ἣ τόσα φάρμακα ᾔδη, ὅσα τρέφει εὐρεῖα χθών.
τὸν μὲν ἐγὼ προσιόντα βάλον χαλκήρεϊ δουρί,
ἤριπε δ᾽ ἐν κονίῃσιν· ἐγὼ δ᾽ ἐς δίφρον ὀρούσας
στῆν ῥα μετὰ προμάχοισιν. ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
ἔτρεσαν ἄλλυδις ἄλλος, ἐπεὶ ἴδον ἄνδρα πεσόντα
ἡγεμόν᾽ ἱππήων, ὃς ἀριστεύεσκε μάχεσθαι.
αὐτὰρ ἐγὼν ἐνόρουσα κελαινῇ λαίλαπι ἶσος,
πεντήκοντα δ᾽ ἕλον δίφρους, δύο δ᾽ ἀμφὶς ἕκαστον
φῶτες ὀδὰξ ἕλον οὖδας ἐμῷ ὑπὸ δουρὶ δαμέντες.
καί νύ κεν Ἀκτορίωνε Μολίονε παῖδ᾽ ἀλάπαξα,
εἰ μή σφωε πατὴρ εὐρὺ κρείων ἐνοσίχθων
ἐκ πολέμου ἐσάωσε καλύψας ἠέρι πολλῇ.
ἔνθα Ζεὺς Πυλίοισι μέγα κράτος ἐγγυάλιξε·
τόφρα γὰρ οὖν ἑπόμεσθα διὰ σπιδέος πεδίοιο
κτείνοντές τ᾽ αὐτοὺς ἀνά τ᾽ ἔντεα καλὰ λέγοντες,
ὄφρ᾽ ἐπὶ Βουπρασίου πολυπύρου βήσαμεν ἵππους
πέτρης τ᾽ Ὠλενίης, καὶ Ἀλισίου ἔνθα κολώνη

V. l. 738 πρῶτον Barocc. κόμισα E. — 740 θυγατέρ᾽ H. ἔχε D. — — 741 ᾔδη ADE. ἤδη GL. ᾔδει CS Cant. Vrat. b. ἤδει H. εἶδεν Schol. Theocr. II, 16. ὅσσα G. — 744 στὴν DG. ῥὰ D. αὐτὰρ G. μεγάθυμοι ἵπποι L. ἀχαιοί Mor. — 746 ἱππέων G. — 747 ἐγὼ G. ἐνόρουσα DH: ἐπόρουσα ACEGLS Cant. Barocc. Mor. Harl. Vrat. b. A. Flor. — 749 φύντες pro φῶτες L. ὑπο A. — 750 μολίωνε CGL. — 751 μὴ σφῶε DGHL. εὐρὺ κρείων A. — 753 ἐγγυάλιξε ACDEG. — 754 διά, σπιδέος A. διὰ σπιδέος C 1. man. Apoll. Lex. 144, 3: δι᾽ ἀσπιδέος C man. rec. DEGHLS Et. Gud. 85, 26. — 755 κτείνοντες αὐτοὺς D. — 756 ὄφρα G. μέσφ᾽ ἐπὶ Strabo VIII, 342. — 757 ὠλένης L. ἀλισίου AD: ἀλεισίου CDGLS Cant. Mor. Barocc. Harl. Lips. Townl. Vrat. b. A. Strabo VIII, 342; 352. Eust. 304, 32. Et. Mg. 61, 39. ἀλησίου (ει supra η) H. ἀλησίου E Steph. Byz. 72, 17. conf. B 617, ubi libri omnes ἀλεισίου.

A. c. 737 ὅτι τινὲς καὶ Ἀχαιῶν γράφουσιν Aristonicus, conf. 694. — 747 ἐνόρουσα dedi pro ἐπόρουσα, conf. 91, 149, 216. — 751 σφῶι Zenodotus? conf. A 8, K 546, H. T. 356 sq. — 754 διὰ σπιδέος Zenodotus, Amerias, Herodianus (ἡρωδιανὸς διὰ σπιδέος Schol. A): δι᾽ ἀσπιδέος Aristarchus, Crates, Ptolem. Ascalonita. utrumque probavit Alexio. conf. Et. Mg. 271, 8. Eust. 882, 53. Hesych. I, 302. — 757 Ἀλισίου Aristarchus. ἡ δὲ γραφὴ τῆς προπαραληγούσης τοῦ Ἀλησίου διφορεῖται· ὁ μὲν γὰρ τὰ ἐθνικὰ γράψας κατὰ στοιχεῖον (Steph. Byz. 72, 17) διὰ τοῦ η οἶδεν αὐτήν· ὁ δὲ ἐτυμολόγος (Et. Mg. 61, 37) διὰ διφθόγγου Eust. 883, 6.

κέκληται, ὅθεν αὖτις ἀπέτραπε λαὸν Ἀθήνη.
ἔνθ' ἄνδρα κτείνας πύματον λίπον· αὐτὰρ Ἀχαιοὶ
ἂψ ἀπὸ Βουπρασίοιο Πύλον δ' ἔχον ὠκέας ἵππους·
πάντες δ' εὐχετόωντο θεῶν Διὶ Νέστορί τ' ἀνδρῶν.
ὣς ἔον, εἴποτ' ἔον γε μετ' ἀνδράσιν. αὐτὰρ Ἀχιλλεὺς
οἶος τῆς ἀρετῆς ἀπονήσεται· ἦ τέ μιν οἴω
πολλὰ μετακλαύσεσθαι, ἐπεί κ' ἀπὸ λαὸς ὄληται.
ὦ πέπον, ἦ μὲν σοί γε Μενοίτιος ὧδ' ἐπέτελλεν
ἤματι τῷ, ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπε.
νῶι δέ τ' ἔνδον ἐόντες, ἐγὼ καὶ δῖος Ὀδυσσεύς,
πάντα μάλ' ἐν μεγάροις ἠκούομεν ὡς ἐπέτελλε.
Πηλῆος δ' ἱκόμεσθα δόμους εὖ ναιετάοντας
λαὸν ἀγείροντες κατ' Ἀχαιίδα πουλυβότειραν.
ἔνθα δ' ἔπειθ' ἥρωα Μενοίτιον εὕρομεν ἔνδον
ἠδὲ σέ, πὰρ δ' Ἀχιλῆα. γέρων δ' ἱππηλάτα Πηλεὺς
πίονα μηρί' ἔκαιε βοὸς Διὶ τερπικεραύνῳ
αὐλῆς ἐν χόρτῳ· ἔχε δὲ χρύσειον ἄλεισον
σπένδων αἴθοπα οἶνον ἐπ' αἰθομένοις ἱεροῖσι.
σφῶι μὲν ἀμφὶ βοὸς ἕπετον κρέα, νῶι δ' ἔπειτα

---

V. L. 758 κέκλιται H Et. Mg. 61, 39 cum glossa ὅπου ἡ κολώνη παράκειται. αὖθις CH. — 759 ἔνθα δὲ L. — 760 ἂψ ἐπὶ L. βουπρασίου[10] C. — 761 πάντως δ' H. — 762 ὣς ἔην G Mor. εἴποτ' ἔην γε ACDE bis GH Suidas I, 2, 749, 15. Et. Mg. 317, 55(?). ἀχϊλεὺς C. — 763 εὖ (η) τέ μιν H. ὀΐω DGL. — 764 μετακλαύσασθαι H Lips. ἄπο CDHL. — 765 ὡιδ' ἐπέτελλε D. — 766 πέμπε ACDEGH. — 767 νῶϊν H. δὲ ἔνδον ACE. δ' ἔνδον DGHL. — 768 πάντα κάλ' L. ἐπέτελλε AGH. ὡς ἐκέλευε C. — 769 εὖ ναιετάοντας ACDGHL. — 770 ἀγείροντες ACDEGH Townl. Vrat. b. Schol. Θ 2. ἐγείροντες L. ἀγείραντες edit. veteres praeter Rom. πουλυβότειραν A. πολυβότειραν D. πουλυβότειραν ἢ καλλιγύναικα E 875, 52. ἐν ἄλλῳ καλλιγύναικα A. — 772 παρ C. ἀχιλλῆα G. — 773 ἔκηε ACDE GLS. ἔκῃε H. ἔκηεν Schol. X 66. βοῶν G Mor. Barocc. — 774, 775 omitt. H in textu. — 775 ἱεροῖσι ACDG. — 776 ἀμφι D. βοῶν G Barocc.

---

A. c. 762 εἴ ποτ' ἔον γε recte Buttmannus Ampl. Gramm. I. pg. 530* ex L et Lips. revocavit, eumque secuti sunt recentiores. — 763 τῆς: antiqua scriptura videtur fuisse ἧς, conf. P 25 ἧς ἥβης ἀπόνητο. Bekk. 2 ϝῆς. — 767 νῶι Aristarchus. δέ τ' ἔνδον in libris meis non reperi; quare Heynio fidem non habeo, qui ex libris suis variam scripturam non affert nisi δὲ ἔνδον ex Veneto utroque. δέ τ' ἔνδον editum est inde a Florentina, idque retinui, nam hiatus δὲ ἔνδον excusari non potest. — 767—785 ἀθετοῦνται Aristonicus. ἠθετοῦντο καὶ παρὰ Ἀριστοφάνει Didymus. — 773 ἀρίσταρχος μηρία καῖε Didymus.

cτῆμεν ἐνὶ προθύροιcι· ταφὼν δ' ἀνόρουcεν Ἀχιλλεύc,
ἐc δ' ἄγε χειρὸc ἑλών, κατὰ δ' ἑδριάαcθαι ἄνωγε,
ξείνιά τ' εὖ παρέθηκεν, ἅ τε ξείνοιc θέμιc ἐcτίν.
αὐτὰρ ἐπεὶ τάρπημεν ἐδητύοc ἠδὲ ποτῆτοc,
ἦρχον ἐγὼ μύθοιο κελεύων ὔμμ' ἅμ' ἕπεcθαι·
cφὼ δὲ μάλ' ἠθέλετον, τὼ δ' ἄμφω πόλλ' ἐπέτελλον.
Πηλεὺc μὲν ᾧ παιδὶ γέρων ἐπέτελλ' Ἀχιλῆι
αἰὲν ἀριcτεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων·
coὶ δ' αὖθ' ὧδ' ἐπέτελλε Μενοίτιοc, Ἄκτοροc υἱόc·
τέκνον ἐμόν, γενεῇ μὲν ὑπέρτερόc ἐcτιν Ἀχιλλεύc,
πρεcβύτεροc δὲ cύ ἐccι· βίῃ δ' ὅ γε πολλὸν ἀμείνων.
ἀλλ' εὖ οἱ φάcθαι πυκινὸν ἔποc ἠδ' ὑποθέcθαι,
καί οἱ cημαίνειν· ὃ δὲ πείcεται εἰc ἀγαθόν περ.
ὣc ἐπέτελλ' ὁ γέρων, cὺ δὲ λήθεαι. ἀλλ' ἔτι καὶ νῦν
ταῦτ' εἴποιc Ἀχιλῆι δαΐφρονι, αἴ κε πίθηται.
τίc δ' οἶδ', εἴ κέν οἱ cὺν δαίμονι θυμὸν ὀρίναιc
παρειπών; ἀγαθὴ δὲ παραίφαcίc ἐcτιν ἑταίρου.
εἰ δέ τινα φρεcὶν ᾗcι θεοπροπίην ἀλεείνει,
καί τινά οἱ πὰρ Ζηνὸc ἐπέφραδε πότνια μήτηρ,
ἀλλὰ cέ περ προέτω, ἅμα δ' ἄλλοc λαὸc ἑπέcθω
Μυρμιδόνων, αἴ κέν τι φόωc Δαναοῖcι γένηαι·
καί τοι τεύχεα καλὰ δότω πόλεμον δὲ φέρεcθαι,
αἴ κέ cε τῷ ἴcκοντεc ἀπόcχωνται πολέμοιο
Τρῶεc, ἀναπνεύcωcι δ' ἀρήιοι υἷεc Ἀχαιῶν

V. L. 777 ἐνι D. προθύρηcι Vrat. b. ἀχῖλεύc C. — 778 κατα CDHL. ἐδριάαcθαι DG. ἄνωγε CDEH. — 779 τε pro τ' εὖ E. — 780 τάρπωμεν L. — 781 μύθοιcι D. ὕμμ' DH. ὔμ' G: ἅμ': ἄμμιν E 884, 9. — 782 cφῶ δε D. cφῶϊ δὲ G. τώ: οἱ E. ἐπέτελοv D. — 783 ἀχιλλῆϊ G. — 785 coὶ δὲ ὁ πατὴρ ἐπέτελλε E 875, 58. αὖ L Mor. ὧιδ' A. — 786 ὑπέρτερόc: ὑπέρτατόc Et. Mg. 225, 34; 228, 16. Zonar. Lex. 427. ἀχιλεύc C. — 787 cὺ ἐccὶ GL. — 788 εὖ οἶ D, gravis 2. man. φᾶcθαι ACDH. ἦδ' D ex corr. man. rec. ἠδ' ὑποθέcθαι ἢ ἠδ' ἐπακοῦcαι E. — 789 ὃ δὲ C. — 790 ὡc D 1. man. — 791 ἀχιλλῆϊ G. — 792 κεν C. cυν D. ὀρίνειc H. — 795 παρ D. ὑπέφραδε L. — 796 cὲ μὲν S Cant. — 797 κέν τοι C. ἤν που τί φόοc G. ἤν πού τι Barocc. φάοc Eust. 1060, 45. γένηται G Mor. γένοιcθε ἢ γένηαι E. γένοιο Eust. 1060, 45; 1128, 55. — 798 πόλεμον δὲ AD. — 799 τῷ γ' Schol. Γ 166. εἴcκοντεc Lips. τῶι ἴcκοντεc D 1. man., nunc τῷ ἐΐcκοντεc ex corr. ἀπόcχονται D. — 800, 801 omitt. L.

A. c. 782 Ζηνόδοτοc ἠθελέτην Aristonicus. — 794, 795 Ζηνόδοτοc περιέγραψεν Aristonicus. — 799 ἴcκοντεc Zenodotus, Alexio, Herodianus: εἴcκοντεc Aristarchus, vid. Et. Mg. 272, 13.

τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευϲιϲ πολέμοιο.
ῥεῖα δέ κ' ἀκμῆτεϲ κεκμηότας ἄνδραϲ ἀυτῇ
ὤϲαιϲθε προτὶ ἄϲτυ νεῶν ἄπο καὶ κλιϲιάων.
ὣϲ φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ ϲτήθεϲϲιν ὄρινε,
βῆ δὲ θέειν παρὰ νῆαϲ ἐπ' Αἰακίδην Ἀχιλῆα.
ἀλλ' ὅτε δὴ κατὰ νῆαϲ Ὀδυϲϲῆοϲ θείοιο
ἷξε θέων Πάτροκλοϲ, ἵνά ϲφ' ἀγορή τε θέμιϲ τε
ἤην, τῇ δὴ καί ϲφι θεῶν ἐτετεύχατο βωμοί,
ἔνθά οἱ Εὐρύπυλοϲ βεβλημένοϲ ἀντεβόληϲε,
διογενὴϲ Εὐαιμονίδηϲ, κατὰ μηρὸν ὀιϲτῷ,
ϲκάζων ἐκ πολέμου· κατὰ δὲ νότιοϲ ῥέεν ἱδρὼϲ
ὤμων καὶ κεφαλῆϲ, ἀπὸ δ' ἕλκεοϲ ἀργαλέοιο
αἷμα μέλαν κελάρυζε· νόοϲ γε μὲν ἔμπεδοϲ ἦεν.
τὸν δὲ ἰδὼν ᾤκτειρε Μενοιτίου ἄλκιμοϲ υἱόϲ,
καί ῥ' ὀλοφυρόμενοϲ ἔπεα πτερόεντα προϲηύδα·
ἆ δειλοί, Δαναῶν ἡγήτορεϲ ἠδὲ μέδοντεϲ,
ὣϲ ἄρ' ἐμέλλετε τῆλε φίλων καὶ πατρίδοϲ αἴηϲ
ἄϲειν ἐν Τροίῃ ταχέαϲ κύναϲ ἀργέτι δημῷ.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ διοτρεφὲϲ Εὐρύπυλ' ἥρωϲ,
ἤ ῥ' ἔτι που ϲχήϲουϲι πελώριον Ἕκτορ' Ἀχαιοί,
ἦ ἤδη φθίϲονται ὑπ' αὐτοῦ δουρὶ δαμέντεϲ.
τὸν δ' αὖτ' Εὐρύπυλοϲ βεβλημένοϲ ἀντίον ηὔδα·
οὐκέτι διογενὲϲ Πατρόκλειϲ ἄλκαρ Ἀχαιῶν
ἔϲϲεται, ἀλλ' ἐν νηυϲὶ μελαίνηϲιν πεϲέονται.
οἱ μὲν γὰρ δὴ πάντεϲ, ὅϲοι πάροϲ ἦϲαν ἄριϲτοι,

---

V. L. 801 ὀλίγη δέ τιϲ G. ἀνάπαυϲιϲ Lips. — 802 ῥεῖα δ' ἂν L. κεκμηῶταϲ A. κεκμηκόταϲ G. — 803 ὤϲεϲθε CGS Mor. Barocc. Harl. Lips. Vrat. b. A. ὤϲεϲθαι H. προτιάϲτυ D. πρὸ τὶ H. ποτὶ S. — 804 ὡϲ A. ἐνι A. ὄρινε ACH. ὄρυνε G. — 805 βῆδε D. ἐπὶ νῆαϲ Townl. ἀχιλλῆα G. — 806 ὀδυϲῆοϲ D. — 807 ἴξε D. ἶξε A. ἦξε G. ἵνά ϲφ' ACHL Bekk. An. 1154: vulgo ἵνα ϲφ'. — 808 ἤην: εἶεν G Barocc. εἴη^εν H. βωμὸϲ G. — 809 ἔνθά οἱ ACDL. ἀντεβόληϲε ACG Townl. — 810 κατα A. — 811 κατα A. κατὰ δὴ G 2. man. — 813 γέ μιν D. — 814 ἄλκιμοϲ: γρ. ἀγλαόϲ Vrat. b. — 815 προϲηῦδα D. — 816 ἆ D. ὦ G Mor. Barocc. — 817 ὡϲ AE. ἆρ DL Apoll. Lex. 67, 14. ἀρ A. — 818 ἄϲϲειν Barocc. ἐνὶ L. ἀργέτη L. ἀργέτι δημῷ: γρ. ἠδ' οἰωνούϲ A. — 819 διοτροφὲϲ GH. — 820 ἦ ῥ' ACDEH. ἤ ῥά τι ποὺ G. — 821 ἤ A: ceteri ἦ. — 822 βεβλημένοϲ ADEGHS Mor. Barocc. Vrat. b. πεπνυμένοϲ CL. ἐν ἄλλῳ πεπνυμένοϲ A. ηῦδα D. — 824 μελαίνῃϲι DG. — 825 ὅϲοι πάντεϲ ἦϲαν H.

---

A. c. 802, 803 ἀθετοῦνται καὶ ἀϲτερίϲκοι παράκεινται Aristonicus. ὀρθῶϲ Π 44, 45, ubi vid. Schol. — 807 ἵνά ϲφ', conf. H. T. 413.

ἐν νηυcὶν κέαται βεβλημένοι οὐτάμενοί τε
χερcὶν ὕπο Τρώων· τῶν δὲ cθένος ὄρνυται αἰέν.
ἀλλ' ἐμὲ μὲν cὺ cάωcον ἄγων ἐπὶ νῆα μέλαιναν,
μηροῦ δ' ἔκταμ' ὀιcτόν, ἀπ' αὐτοῦ δ' αἷμα κελαινὸν
νίζ' ὕδατι λιαρῷ, ἐπὶ δ' ἤπια φάρμακα πάccε,
ἐcθλά, τά cε προτί φαcιν Ἀχιλλῆος δεδιδάχθαι,
ὃν Χείρων ἐδίδαξε, δικαιότατος Κενταύρων.
ἰητροὶ μὲν γὰρ Ποδαλείριος ἠδὲ Μαχάων,
τὸν μὲν ἐνὶ κλιcίῃcιν ὀίομαι ἕλκος ἔχοντα,
χρηίζοντα καὶ αὐτὸν ἀμύμονος ἰητῆρος,
κεῖcθαι· ὁ δ' ἐν πεδίῳ Τρώων μένει ὀξὺν ἄρηα.
τὸν δ' αὖτε προcέειπε Μενοιτίου ἄλκιμος υἱός·
πῶc τ' ἄρ' ἔοι τάδε ἔργα; τί ῥέξομεν Εὐρύπυλ' ἥρωc;
ἔρχομαι, ὄφρ' Ἀχιλῆι δαΐφρονι μῦθον ἐνίcπω,
ὃν Νέcτωρ ἐπέτελλε Γερήνιος, οὖρος Ἀχαιῶν·
ἀλλ' οὐδ' ὧc περ cεῖο μεθήcω τειρομένοιο.
ἦ, καὶ ὑπὸ cτέρνοιο λαβὼν ἄγε ποιμένα λαῶν
ἐc κλιcίην· θεράπων δὲ ἰδὼν ὑπέχευε βοείαc.
ἔνθά μιν ἐκτανύcαc ἐκ μηροῦ τάμνε μαχαίρῃ
ὀξὺ βέλος περιπευκέc, ἀπ' αὐτοῦ δ' αἷμα κελαινὸν
νίζ' ὕδατι λιαρῷ, ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν
χερcὶ διατρίψαc, ὀδυνήφατον, ἥ οἱ ἁπάcαc
ἔcχ' ὀδύναc· τὸ μὲν ἕλκος ἐτέρcετο, παύcατο δ' αἷμα.

V. L. 826 νηυcὶ D. — 827 ὑπὸ DEL. τρῴων L. ὄρνυτ' G. ὤρνυται L. αἰὲν ACDEGHL cum libris Heynii. — 828 ἐπινῆαc ἀχαιῶν D. — 829 μηροῦ τ' L. — 830 χλιαρῷ Lips. 2. man. Vrat. A. ἐπι DL. ἐπὶ δὲ G. — 831 προτι D. φαcὶν CDE 886, 58 GHL. — 832 δικαιότεροc G Mor. Barocc. — 833 ἰατρὸc Et. Mg. 678, 24. γὰρ omitt. G. ἠδὲ: καὶ G. — 834 ἐνι D. ἐν L. — 836 ὃ δ' D. ὅδ' CGHL. τρῴων L. — 838 πῶc τάρ A. πῶc τ' ἂρ CDGL. πῶc ἂρ E. πῶc κεν Cram. Epim. 367, 29. Schol. Ω 22. — 839 ὄφρ' omitt. L. ἐνίcπων L. ἐνίψω Cram. Ep. 141, 27. — 840 ἐπέτελε D. — 842 ὑπο L. — 843 ἐν κλϊcῖῃ H. — 844 ἔνθά μιν CDHL. μὶν G. μαχαίρῃ omitt. H. — 845 περιπευκὲc A. — 846 χλιαρῷ Cant. Lips. Vrat. A. — 847 ὀδυνήφατον A.

A. c. 831 δεδιδάχθαι: Ζηνόδοτοc δεδάαcθαι Didymus. — 832 δικαιότατοc Aristarchus. — 838 ἔοι: Ζηνόδοτοc διὰ τοῦ η ἔην Didymus. — 841 cεῖο μεθήcω: Ζηνόδοτοc δὲ ἀμελήcω· ποιητικώτερον δὲ τὸ ἕτερον Didymus. cεῖ', quod Bekkerus ante ἀμελήcω inseruit, non est in codice, nec poëta eo est usus, sed cεῦ, conf. ad Z 454.